eul_wid: wus-ab

*Σοῦδα* · Suda

# Lexicon, Letter B

*Σοῦδα, Στοιχεῖον Β*

**Period:** *Βυζαντινή* Byzantine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Συναγωγή* Collection

β 1 Βαάλ.

β 2 Βαβακατρεῦ: βάρβαρός ἐστι φωνή· συγκατατίθεται δὲ ὁ βάρβαρος θεός. αἱ γὰρ ἄσημοι φωναὶ ἀντὶ συγκαταθέσεώς εἰσιν.

β 3 Βαβάκινος: εἶδος χύτρας.

β 4 Βαβάκτης: ὁ ὀργιστής.

β 5 Βαβαί: θαυμαστικὴ φωνή.

β 6 Βαβαὶ Μύξος: ἐπὶ τῶν κομπαζόντων καὶ μεγαλαυχούντων. Μύξος γὰρ ἐγένετο τῆς Ἀρτέμιδος ἱερεὺς, ἀστεῖός τις καὶ μεγάλαυχος.

β 7 Βαβρίας ἢ Βάβριος· Μύθους ἤτοι Μυθιάμβους. εἰσὶ γὰρ διὰ χωλιάμβων ἐν βιβλίοις ι′. οὗτος ἐκ τῶν Αἰσωπείων μύθων μετέβαλεν ἀπὸ τῆς αὐτῶν λογοποιΐας εἰς ἔμμετρα, ἤγουν τοὺς χωλιάμβους.

β 8 Βαβοῦς: ὄνομα κύριον.

β 9 Βαβύλας: πηλός. βάθρον. βῆμα.

β 10 Βαβύλας, ἐπίσκοπος Ἀντιοχείας. οὗτος, φασὶ, Νουμεριανῷ, οἱ δὲ Δεκίῳ, κατὰ δή τινα δαίμονα εἰσελθεῖν εἰς πληθύουσαν τὴν ἐκκλησίαν προθυμουμένῳ· στὰς γὰρ πρὸ τῶν θυρῶν ἀντισχεῖν φάσκων, εἰς δύναμιν μὴ περιόψεσθαι λύκον τῷ ποιμνίῳ ἐπεισερχόμενον. τὸν δὲ παραυτίκα μὲν ἀνακρουσθῆναι τῆς εἰσόδου, εἴτε στάσιν τοῦ ὄχλου ὑπειδόμενον, εἴτε καὶ ἄλλως αὐτῷ μεταβουλευθέν. ἐν χαλεπῷ μέντοι τὴν ἀντίστασιν τοῦ ἐπισκόπου ποιησάμενον, ἐπειδὴ ὡς ἑαυτὸν ἐπὶ τὰ βασίλεια ἀπηλλάγη, παραστήσασθαί τε αὐτὸν καὶ πρῶτα μὲν τὴν αἰτίαν τῆς κωλύσεως ἐγκαλεῖν, ἔπειτα μέντοι κελεύειν αὐτὸν τοῖς δαίμοσι θύειν, εἰ βούλοιτό γε τὴν ἐπὶ τῷ ἐγκλήματι δίκην διαφυγεῖν. τὸν δὲ πρὸς τὴν ἐπέγκλησιν ἀπολογήσασθαι καὶ τὴν πρόκλησιν διακρούσασθαι τὴν μὲν, φήσαντα ποιμένι ὄντι ἑαυτῷ πάντα προσήκειν ὑπὲρ τοῦ ποιμνίου προθυμεῖσθαι, τὴν δὲ, μὴ ἂν ἑλέσθαι τοῦ ὄντως ἀποστάντα θεοῦ ψευδωνύμοις ὀλετῆρσι δαίμοσι θύειν. εἶθ’ ὁ μὲν ὡς ἑώρα μὴ πειθόμενον προσέταξεν αὐτὸν ἁλύσεσι καὶ πέδαις ἐνδησαμένους τὴν ἐπὶ θανάτῳ ἄγειν τῆς κεφαλῆς ἀφαιρήσοντας. ὁ δὲ, ἐπειδὴ ἤγετο τεθνηξόμενος, ταύτας ἀναλαβὼν ᾖδε τὰς τοῦ ψαλμοῦ ῥήσεις· ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος εὐεργέτησέ σε. φασὶ δὲ καὶ τρεῖς παῖδας ἀδελφοὺς τὸ γένος κομιδῆ νέους ὑπ’ αὐτῷ ἀνατρεφομένους ἁρπαγῆναί τε αὐτοὺς ὑπὸ τοῦ βασιλέως, καὶ ὡς οὐδ’ αὐτοὶ θύειν ἤθελον, καίτοι παντοίας ἀνάγκης αὐτοῖς προσαγομένης, καὶ αὐτοὺς ἐκέλευσε τῶν

κεφαλῶν ἀφαιρεῖν. οὓς, ἐπειδὴ ἧκον εἰς τὸ προκείμενον χωρίον, ὁ Βαβύλας ἑαυτοῦ προστησάμενος, προτέρους προσῆγε τῷ ξίφει, τοῦ μή τινα τρέσαντα αὐτῶν ἀναδῦναι τὸν θάνατον. καὶ ἀποτεμνομένων ταύτην ἀνειπὼν τὴν φωνήν· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ θεός, ἔπειτα αὐτὸς προὔτεινε τὸν αὐχένα τῷ ξίφει, ἐντειλάμενος τοῖς τὸ σῶμα αὐτοῦ συλλεξομένοις τὰς ἁλύσεις καὶ τὰς πέδας αὐτῷ συνθάψαι. ἵν’ ᾖ μοι ταῦτα, φησὶ, κειμένῳ κόσμος. καὶ νῦν μετ’ αὐτοῦ, ὥς φασι, ταῦτα τυγχάνει κείμενα.

β 11 Βαβυλωνία κάμινος· καὶ Βαβυλώνιοι παῖδες.

β 12 Βαγαῖος: ὄνομα κύριον. παλλομένων δὲ, λαγχάνει ἐκ πάντων Βαγαῖος.

β 13 Βαγεύει: πλανητεύει.

β 14 Βάγιον: μέγα.

β 15 Βαγώας: ὄνομα κύριον· ὃς ἦν εὐνοῦχος.

β 16 Βάδην: περιπάτῳ ἐρχόμενος. τοὺς μὲν προαπέστειλεν, αὐτὸς δὲ ἐν πλινθίῳ τὴν στρατιὰν ἐπαγόμενος ἐχώρει βάδην. καὶ αὖθις· βάδην καὶ σχολαίως ἀκολουθῶν. Ἀριστοφάνης· Μεγαρεῖς, ὅτ’ ἐπείνων βάδην, Λακεδαιμονίων ἐδέοντο. ἀντὶ τοῦ ἐλίμωττον, ὑπὸ λιμοῦ διεφθείροντο. βάδην ἀντὶ τοῦ κατὰ βραχὺ αὐξανομένου τοῦ λιμοῦ καὶ ἐπίδοσιν λαμβάνοντος, προϊόντος ἐπὶ τὸ μεῖζον.

β 17 Βαδδίν: στολὴ ἱερά. Δανιήλ· ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον, καὶ ἦν ἀνὴρ ἐνδεδυμένος βαδδίν.

β 18 Βάδιζε. καὶ Βαδίζου, ἀντὶ τοῦ βάδιζε. Κρατῖνος.

β 19 Βαδιστέα: ἀντὶ τοῦ πορευτέον. ἐμοὶ δὲ βαδιστέα, οἷ σοφία καὶ δαίμων με ἄγει.

β 20 Βαδιστικοῦ: ὀξύποδος. Ἀριστοφάνης. ὡς ὄντος γε μὴ βαδιστικοῦ.

β 21 Βάδιλλος.

β 22 Βάδιος: υἱός. σημαίνει δὲ καὶ ἵππου χροιάν.

β 23 Βάδος: ἡ βάδισις. Ἀριστοφάνης Ὄρνισι· διὰ ταῦτα τόνδε τὸν βάδον βαδίζομεν. ἐν παιδιᾷ παρεσχημάτισται. ὡς γὰρ ἀπὸ τοῦ πατεῖν πάτος· Ὅμηρος· πάτον ἀνθρώπων ἀλεείνων· οὕτως ἀπὸ τοῦ βαδίζειν βάδος.

β 24 Βαήλ.

β 25 Βαθάλη: ὄνομα κύριον.

β 26 Βαθεῖα κόμη: ἡ δασεῖα. ἀπεκείρατο τὴν κόμην· ἦν δὲ πολλὴ καὶ ξανθὴ καὶ βαθεῖα. βαθείᾳ τῇ τριχὶ κομῶντα, καὶ γηραιὸν πολιᾷ. πλοῦτον εἶναι τὴν Λαφρίαν Ἄρτεμιν.

β 27 Βαθεῖαν αὔλακα: ὅπερ ἐστὶ στίχος γῆς ὑπὸ ἀρότρου. μεταφορικῶς ἀπὸ τοῦ βαθείας φρένας καὶ κεκρυμμένας σημαίνει.

β 28 Βάθος· βάθος ἐστὶ φάλαγγος τὸ μετὰ τὸ μέτωπον ἅπαν. καὶ ὁ ἀπὸ λοχαγοῦ ἐπὶ οὐραγὸν στίχος κατὰ βάθος λέγεται. ζήτει περὶ τοιούτων ἐν τῷ τέλει τοῦ δευτέρου βιβλίου.

β 29 Βαθμίδος.

β 30 Βάθρα· χθὲς μὲν καὶ πρώην δεδρακότες τοῦ καπηλείου καὶ τούτου βάθρα καλλύνων καὶ τοὔδαφος κορεῖν, ἄρτι δὲ χλαμύδας τὰς εὐπαρύφους ἐνδεδυκότες καὶ περόναις χρυσαῖς διαπεπερονημένοι καὶ σφραγῖσι χρυσοδέτοις διεσφιγμένοι. καὶ Βάθρον, θεμέλιον. καὶ Βάθρα, ἀγάλματα. ἀπολυομένου δὲ αὐτοῦ τοὺς βλαυτίους καὶ πρὸς βάθρον προσηρεικότος τὸν ἕτερον πόδα, προσδραμών τις τῶν στρατιωτῶν μετ’ ἐγχειριδίου τοῦτον ἀπέτεμε. καὶ Σοφοκλῆς· Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου. τουτέστι τὸ θεμέλιον, τὸ ἕδρασμα, δι’ ὃν ἵσταται ἡ Σαλαμίς. Βάθρον καὶ ἐφ’ οὗ κάθηνται ἐν τοῖς συλλόγοις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

β 31 Βαθυγνώμων ἄνθρωπος καὶ κρυψίνους. Ῥουφῖνος καὶ Γλίχων ἐπίτροποι Θεοδοσίου τοῦ βασιλέως.

β 32 Βαθύγλωσσοι: ἐλλόγιμοι, εὔγλωττοι.

β 33 Βαθυδίνης: ἐν βάθει ἔχων τὰ ῥεύματα.

β 34 Βαθυκαμπῆ: ἐπιπολὺ καμπτομένην. καὶ βαθυκαμπῆ κλεῖδα συῶν.

β 35 Βαθυλήϊον: σιτοφόρον πεδίον.

β 36 Βαθυπέπλων: μεγάλων, ἐκ τοῦ παρακολουθοῦντος.

β 37 Βαθύπλουτος: πολὺν πλοῦτον ἔχουσα. εὐδαίμονα καὶ βαθύπλουτον εἶναι τὴν Λαφρίαν Ἄρτεμιν.

β 38 Βαθυρρείτης: ὁ βαθέα ῥεύματα ἔχων.

β 39 Βαθύς: ἀντὶ τοῦ πονηρός. οὕτως Μένανδρος.

β 40 Βαθύστρωτος κοίτη. τὸν δὲ τῆς βαθυστρώτου καταβᾶσα κοίτης ἐπεδίωκεν ἡ νύμφη. ἀντὶ τοῦ πολυτελοῦς.

β 41 Βαθύσχοινον: ὑψηλὰς σχοίνους φέροντα.

β 42 Βαθύτατα: παχέα. Αἰλιανός· αἰθρίας γὰρ οὔσης καὶ πανηλίῳ ἡμέρᾳ ἄφνω καὶ ἀδοκήτως νέφη συνδραμεῖν οἷα δή που βαθύτατα καὶ καταρρῆξαι πάμπολυν ὑετόν.

β 43 Βακάντης: ὁ σχετλιαστής.

β 44 Βακάντιβος: σχολαστὴς, μὴ παραμένων τῷ πράγματι αὐτοῦ.

β 45 Βακκαῖοι: ὥσπερ Ἐσσαῖοι. ἔστι δὲ ἔθνος Ἰβηρικόν.

β 46 Βάκηλος: μέγας μὲν, ἀνόητος δὲ καὶ γυναικώδης. Βάκηλος, εὐνοῦχος, ἀπόκοπος. καὶ παροιμία· Βάκηλος εἶ, κατὰ τῶν ἐκλύτων καὶ ἀνάνδρων. τοιοῦτοι γὰρ οἱ ἀπόκοποι.

β 47 Βάκις: ἐπίθετον Πεισιστράτου. ἦν δὲ χρησμολόγος. Φιλήτας δὲ ὁ Ἐφέσιός φησι τρεῖς Βάκιδας· ὁ μὲν ἐξ Ἐλεῶνος τῆς Βοιωτίας, ὁ δὲ Ἀθηναῖος, ὁ δὲ Ἀρκὰς ἐκ πόλεως Καφύης, ὃς καὶ Κύδας ἐκαλεῖτο καὶ Ἀλήτης. Θεόπομπος δὲ ἐν τῇ θʹ τῶν Φιλιππικῶν ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱστορεῖ παράδοξα, καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων τὰς γυναῖκας μανείσας ἐκάθηρεν, Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος.

β 48 Βακτηρεύειν: στηρίζεσθαι.

β 49 Βακτηρία καὶ σύμβολον· οἱ λαχόντες δικάζειν ἐλάμβανον παρὰ τῶν δημοσίων ὑπηρετῶν σύμβολον καὶ βακτηρίαν, καὶ οὕτως ἐδίκαζον. τὴν χρόαν ὁμοίαν εἶχε τῇ βακτηρίᾳ τὸ δικαστήριον. τὸ μέντοι σύμβολον 〈μετὰ〉 τὴν κρίσιν ἀποδιδοῦντες ἐκομίζοντο τριώβολον· ὅπερ καὶ δικαστικὸν γέγονεν.

β 50 Βάκτρον: ῥάβδος. γηραλέον νῦν ἀντὶ πανοπλίης βάκτρον ἀμειψάμενος. λέγεται καὶ σκηπάνιον. ἀντὶ δὲ πλήκτρου, σκηπανίῳ τρομερὰς χεῖρας ἐρεισάμεθα.

β 51 Βάκχαι καὶ Σάτυροι καὶ Πᾶνες καὶ Σιληνοί, ὀπαδοὶ Διονύσου.

β 52 Βακχέβακχον ᾆσαι: ἀντὶ τοῦ εὐφημῆσαι τὸν Διόνυσον. Βάκχαν γὰρ ὁ Διόνυσος.

β 53 Βακχευούσας σὺν τῷ μέλει τῷ βακχείῳ τε καὶ ἐνθέῳ.

β 54 Βακχεύων: μαινόμενος. καὶ Κατεβακχεύοντο, τουτέστιν ἐνεθουσίων ἐπιπνοίας τινὸς πληρωθέντες. ἐπ’ αὐτήν που τὴν τελεσιουργὸν κατεβακχεύοντο πρᾶξιν χωρεῖν σώφρονι μανίᾳ ἐς συμπλοκὴν ἐξοιστρούμενοι.

β 55 Βακχεία ποιμαντική· καὶ Βακχεῖος.

β 56 Βάκχης τρόπον: ἐπὶ τῶν ἀεὶ στυγνῶν καὶ σιωπηλῶν· παρόσον αἱ Βάκχαι σιγῶσιν.

β 57 Βάκχος: οὕτως οὐ μόνον τὸν Διόνυσον ἐκάλει, ἀλλὰ καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια· οὐ μὴν καὶ τοὺς κλάδους οἱ μύσται φέρουσιν. ἔστι δὲ καὶ στεφάνου εἶδος. Βάκχοισιν κεφαλὰς πολυανθέσιν ἐστέψαντο. καὶ Πισίδης· πολλοὺς δὲ Βάκχους ἦν ὁρᾶν ἀκουσίως τὴν ἐσχάτην ὄρχησιν ἐξορχουμένους.

β 58 Βακχίδης: ὁ τοῦ Διονύσου υἱός.

β 59 Βακχυλίδης, Κεῖος, ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος (ἔχει γὰρ πόλεις δʹ, Ἰουλίδα, Καρθαίαν, Κορεσσίαν, Ποιήεσσαν), Μέδωνος υἱὸς, τοῦ Βακχυλίδου τοῦ ἀθλητοῦ παιδός· συγγενὴς Σιμωνίδου τοῦ λυρικοῦ, καὶ αὐτὸς λυρικός.

β 60 Βάκχυρις: ἐπὶ τῶν δικαιοτάτων. τοιοῦτος γὰρ οὗτος, βασιλεὺς Αἰγύπτου.

β 61 Βαλανάγρα: ἡ κλείς, παρὰ τὸ ἀγρεύειν τὴν βάλανον. βάλανος δέ ἐστι τὸ εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον. καὶ βάλανοι, τὰ μάγγανα τῆς κλειδώσεως. καὶ βεβαλάνωται, ἀντὶ τοῦ κεκλείδωται.

β 62 Βαλανεώτης.

β 63 Βαλανεύς: ἐπὶ τοῦ πολυπράγμονος καὶ περιέργου.

β 64 Βαλανειομφάλους: τὰς φιάλας οἱ κωμικοὶ καλοῦσι. Βαλανεῖον δὲ ἐκλήθη, διότι τὰς βαλάνους ἐσθίοντες τὰ κελύφη ἔκαιον. λέγουσι δὲ ὅτι οἱ πολλοὶ ἐλαττοῦσι τὸν ἀέρα τῷ λουτρῷ, εἰς ἑαυτοὺς αὐτὸν ἕλκοντες. καὶ Βαλανείτης, ὁ παρὰ τοῖς πολλοῖς καλούμενος περιχύτης. ἔστι δὲ τὸ βαλανεῖον ὁδὸς ἐπὶ τρυφήν. ὅτι τὸ καταρχὰς, μὴ ὄντων βαλανείων, ἐν ταῖς σκάφαις καὶ πυέλοις οἱ ἀρχαῖοι ἐλούοντο.

β 65 Βαλανίς: ἡ τοῦ βαλανέως γυνή.

β 66 Βάλανος: τὸ αἰδοῖον καὶ τὸ ψέλιον. καὶ Βάλανοι φοινίκων. οἶνον ἔπινον ἀπὸ τῆς βαλάνου τῆς ἀπὸ τοῦ φοίνικος. καὶ αὖθις· αἱ δὲ βάλανοι τῶν φοινίκων, οἵας μὲν ἐν τοῖς Ἕλλησιν ἔστιν ἰδεῖν, τοῖς οἰκέταις ἀπέκειντο, αἱ δὲ τοῖς δεσπόταις ἀποκείμεναι ἦσαν ἀπόλεκτοι.

β 67 Βαλάντιον: μάρσιπος. Εὐνάπιος· εἴτε φιλοχρήματος εἴη καὶ δοῦλος τῶν βαλαντίων. καὶ ταῦτα σαφῶς ἐκπυνθανόμενοι πρὸς ταῦτα διεστρατήγουν τὸν πόλεμον.

β 68 Βαλαντιοτόμος: κλέπτης. καὶ Βαλαντιοτόμοι. χρημάτων τε μεγάλων ἐωνημένοι ἤγοντο μοιχοὶ, πόρνοι, τοιχωρύχοι, βαλαντιοτόμοι, ἀνδραποδισταὶ καὶ τὰ τοιαῦτα ἔθνη. Βαλαντιοτόμοι δὲ οἱ τὰ βαλάντια κλέπτοντες.

β 69 Βαλβίς· Βαλβῖδος. βάσις ταπεινὴ, ἡ ἀφετηρία, καὶ ὁ καμπτός. ὥσπερ ἐκ βαλβῖδός τινος οἱ τὰ τέθριππα ἀφιέντες, ἀναπετασθείσης τῆς πύλης. καὶ Βαλβῖσιν, ἀντὶ τοῦ ταῖς ἀρχαῖς. εἴρηται δὲ ἀπὸ τῶν δρομέων. ἡ γὰρ ὑπὸ τὴν ὕσπληγα γινομένη γραμμὴ, διὰ τὸ ἐπ' αὐτῆς βεβηκέναι τοὺς δρομέας, βαλβὶς καλεῖται. ἀπὸ τοῦ ἅλλομαι ἁλμὶς, ἁλβὶς, ὑπερβιβασμῷ βαλβίς. ἢ ἀπὸ τοῦ βαίνω.

β 70 Βάλε, βάλε, τὸ τρίτον εἴη: ἀντὶ τοῦ εἴθε μοι.

β 71 Βάλλ' ἐς κόρακας: τουτέστιν ἄπιθι εἰς ἀπώλειαν καὶ φθόρον. ἀπὸ ἱστορίας ἐν ταῖς παροιμίαις κειμένης.

β 72 Βαλεντινιανός, βασιλεὺς Ῥωμαίων. οἱ δὲ Οὐαλεντινιανός. καὶ ζήτει ἐν τῷ Σαλούστιος.

β 73 Βαλεριανός, βασιλεὺς Ῥωμαίων.

β 74 Βάλλ' ἐς Μακαρίαν: ἐπὶ τῶν ἑαυτοὺς εἰς κίνδυνον κατ' ἀρετὴν διδόντων.

β 75 Βάλλ' ἐς Μακαρίαν: οἷον εἰς ᾅδου. Μακαρία γὰρ ἡ Ἡρακλέους, ὁπηνίκα ἐπεστράτευσεν ὁ Εὐρυσθεὺς ταῖς Ἀθήναις, ἑαυτὴν ἐπέδωκε σφάγιον ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας. τὸ δ' αὐτὸ τοῦτο καὶ οὕτως λέγουσιν, ἐς Μακαρίαν, καὶ εἰς Μακαρίαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

β 76 Βάλλεται: πλήττεται, πυρπολεῖται. βάλλεται δὲ ἡ ναῦς σκηπτῷ, καὶ ἦν δέος ἐξαφθῆναί τε καὶ καταδῦναι τὸ σκάφος.

β 77 Βαλεῖν: τὸ πόρρωθεν πέμψαι. οὐτάσαι δὲ καὶ νύξαι καὶ τύψαι, τὸ ἐκ χειρὸς τρῶσαι. Βάλλειν παρ' Ὁμήρῳ καὶ ἐπὶ τοῦ τυγχάνειν. βάλεν ἄγρια πάντα.

β 78 Βάλλειν μήλοις: ἐπὶ τῶν τυγχανόντων ὧν ἐρῶσιν. καὶ Βάλλω· αἰτιατικῇ. τοὺς πόρρωθεν βάλλων τοξεύμασι τοῖς ἐκ μέλανος. καὶ τόνδ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα.

β 79 Βάλλ' εἰς ἔχοντα τὴν ἐπιστήμην: ἐπὶ τῶν λοιδορούντων τοὺς ὁμοτέχνους.

β 80 Βάλλ' εἰς ὕδωρ: ὅτι καταπόντισον.

β 81 Βακτηρία καὶ σχῆμα καὶ τριβώνιον, ἢ τριώβολον: τοῦτο ἐπὶ τῶν σκωπτόντων δικαστὰς τοὺς Ἀθήνησιν.

β 82 Βαλίαν: τὴν ἔλαφον τὴν κατάστικτον. καὶ Βαλίων ἀνέμων· λήγετε πνοιαὶ βαλίων ἀνέμων. τουτέστι σφοδρῶς πνεόντων. παρὰ Συνεσίῳ τῷ Κυρηναίῳ. καὶ αὖθις· θηρεύων βαλίους συνομήλικας ἐν νομῷ ὕλης· ᾤχεο γὰρ πυμάτ' εἰς Ἀχέροντος ὁδόν.

β 83 Βαλιαρίδων νήσων σφενδονῆται εὔστοχοι.

β 84 Βαλίος: ἵππος.

β 85 Βαλμός: στῆθος.

β 86 Βάλλων Σωκράτη καὶ Ζήνωνα τοῖς ἐκ Διονυσίων σκώμμασι, καὶ τοὺς ὑπ' αὐτῶν ἀξιῶν πάσης ἐλαύνεσθαι γῆς καὶ θαλάττης, ὡς ὄντας κῆρας πόλεών τε καὶ πολιτείας· νῦν δὲ στεφανῶν αὐτοὺς καὶ παράδειγμα τιθέμενος βίου γενναίου καὶ σώφρονος.

β 87 Βαλὼν φεύξεσθ' οἴει; πρὸς τοὺς κακόν τι δράσαντας καὶ οἰομένους ἐκφεύγειν.

β 88 Βαλτάσαρ: οὕτως ἐπεκλήθη ὁ Δανιὴλ εἰς τιμὴν τῆς τῶν ἀπορρήτων σαφηνείας.

β 89 Βάμμα Κυζικηνόν: τὴν ἀκάθαρτον ἀσχημοσύνην Ἀττικοὶ λέγουσι. καὶ ἑτέρα παροιμία· Βάμμα Σαρδιανικόν, ἀντὶ τοῦ μή σε ἐρυθρὸν ποιήσω· οἷον ἵνα μή σε φοινίξω. νῆσος γάρ ἐστι μεγίστη ἡ Σαρδὼ πρὸς τῇ Ἰταλίᾳ, ἐν ᾗ γίνονται πορφύραι διάφοροι καὶ ὀξύταται. βούλεται οὖν δηλοῦν, ἵνα μή σε πληγὰς ἐντρίψω. ζήτει ἐν τῷ ἄγχουσα περὶ ἐρυθήματος γυναικῶν.

β 90 Βάμβαξ, ἢ πάμβαξ καὶ παμβακίς: τὸ παρὰ πολλοῖς λεγόμενον βαμβάκιον. ἐν Ἐπιγράμμασι· καὶ τὴν τρυτοδόκην κοιτίδα παμβακίδων.

β 91 Βαμβαίνει: διστάζει, τρέμει τοῖς ποσὶ καὶ τῇ γλώττῃ ἀσήμως φθέγγεται.

β 92 Βάναυσος: πᾶς τεχνίτης διὰ πυρὸς ἐργαζόμενος. βαῦνος γὰρ ἡ κάμινος. καί, τοῖς ἐκ τῆς ἀγορᾶς βαναύσοις φέρειν προσέταξε βέλη καὶ παραβάλλειν ἔξω παρὰ τὸν θεμέλιον τοῦ τείχους.

β 93 Βάναυσος· ἐπὶ τούτοις σεμνύνεται κατὰ τὴν πολιτείαν, ἐφ' οἷς ἂν καὶ τελώνης σεμνυνθείη βάναυσος. ἐπὶ γὰρ τῷ πολλὰ καὶ λυσιτελῶς πωλεῖσθαι κατὰ τὴν πόλιν καὶ δαψιλῆ τὰ πρὸς βίον ὑπάρχειν πᾶσιν, ἐπὶ τούτοις μεγαλαυχεῖ.

β 94 Βάνδον: οὕτω καλοῦσι Ῥωμαῖοι τὸ σημεῖον τὸ ἐν πολέμῳ.

β 95 Βάξιν: φήμην. Σοφοκλῆς· εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς ταῖς νῦν νομίζεις πρός γ' ἐμοῦ πεπονθέναι λόγοισιν εἴτ' ἔργοισιν εἰς βλάβην φέρον, οὔτοι βίου μοι τοῦ μακραίωνος πόθος φέροντι τήνδε βάξιν. ἀντὶ τοῦ οὐ βούλομαι ζῆν ἐπὶ ταύτῃ τῇ φήμῃ.

β 96 Βαπτά: βαπτὰ ἱμάτια ἐφόρουν οἱ νυμφίοι πρὸς τὸ φαίνεσθαι τεκμήριον τῆς φθορᾶς. Ἀριστοφάνης Πλούτῳ· οὔθ' ἱματίων βαπτῶν δαπάναις κοσμῆσαι ποικιλομόρφων. ἀντὶ τοῦ ἑτεροχρόων.

β 97 Βαπτίζω· αἰτιατικῇ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

β 98 Βάπτουσι: πλύνουσιν. Ἀριστοφάνης· πρῶτα μήτ' ἄρια βάπτουσι θερμῷ κατὰ τὸν ἀρχαῖον νόμον. ἀντὶ τοῦ οὐδὲν καινοτομοῦσιν.

β 99 Βάραθρον: χάσμα τι φρεατῶδες καὶ σκοτεινὸν ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τοὺς κακούργους ἔβαλλον· ἐν δὲ τῷ χάσματι τούτῳ ὑπῆρχον ὄγκινοι, οἱ μὲν ἄνω οἱ δὲ κάτω. ἐνταῦθα τὸν Φρύγα τὸν τῆς μητρὸς τῶν θεῶν ἐνέβαλον ὡς μεμηνότα, ἐπειδὴ προέλεγεν, ὅτι ἔρχεται ἡ μήτηρ εἰς ἐπιζήτησιν τῆς κόρης. ἡ δὲ θεὸς ὀργισθεῖσα ἀκαρπίαν ἔπεμψε τῇ χώρᾳ· καὶ γνόντες τὴν αἰτίαν διὰ χρησμοῦ τὸ μὲν χάσμα κατέχωσαν, τὴν δὲ θεὸν θυσίαις ἵλαον ἐποίησαν.

β 100 Βάραθρον: τόπος βαθὺς, ὅπου οἱ κακοῦργοι ἐμβάλλονται Ἀθήνησι καὶ οἱ ἐπὶ θανάτῳ· ὥσπερ εἰς τὸν Κεάδαν οἱ Λακεδαιμόνιοι.

β 101 Βάραθρον: ὄρυγμά ἐστιν, εἰς ὃ ὁ τῆς Ἱπποθοωντίδος δῆμος τοὺς ἐπὶ θανάτῳ κατακρίτους ἐνέβαλλον. ἐν δὲ Φιλιππικοῖς ὁ Δημοσθένης τὴν λέξιν οὐ κυρίως εἶπεν, ἀλλ' ἐκ μεταφορᾶς, οἷον ἐν τῷ ὀλέθρῳ.

β 102 Βαρακηνίς: ἡ ἄκανθα.

β 103 Βαράμης.

β 104 Βαρβαρίζει: ἀντὶ τοῦ τὰ τῶν βαρβάρων φρονεῖ. οὕτως Πλάτων. ἔστι δὲ βαρβαρισμὸς ἐκ τῶν κακιῶν λέξις παρὰ τὸ ἔθος τῶν εὐδαιμονούντων Ἑλλήνων· σολοικισμὸς δέ ἐστι λόγος ἀκαταλλήλως συντεταγμένος· ὡς τὸ ἐγὼ περιπατῶν ὁ τοῖχος ἔπεσεν.

β 105 Βαρβάρους: ἀντὶ τοῦ ἀφώνους ἢ ἀνηκόους ἀνθρώπων καὶ μὴ εἰδότας αὐτῶν τὴν φωνήν. Ἀριστοφάνης Ὄρνισιν· ἐγὼ γὰρ αὐτοὺς βαρβάρους ὄντας προτοῦ, ἐδίδαξα τὴν φωνὴν συνὼν πολὺν χρόνον. περὶ τῶν ὀρνέων λέγει ὁ ἔποψ.

β 106 Βαρδίσαγνος: ὁ τὰς γυναῖκας βιαζόμενος.

β 107 Βάρβιτος: εἶδος ὀργάνου μουσικοῦ.

β 108 Βάρδιστοι: βραδύτατοι.

β 109 Βάρβιος, Φιλιππικός· οὗτος ἐπὶ τῶν τριῶν τυράννων ἦρχε. θέραψ δὲ ἦν τὸν τρόπον καὶ κολακικὸς, καὶ μέντοι καὶ τῷ περὶ τὸν Ἀντώνιον θιάσῳ κατείλεκτο· καὶ ταύτην γε τὴν ἀρχὴν ἦρχε τὴν ἐκείνου χάριν. τοῦτόν τε οὖν τὸν τότε σοβαρὸν καὶ πορφυροῦν τῇ τιμῇ καὶ ἐν ἀγορᾷ τῇ Ῥωμαίων ὑψηλὸν διάγοντα καὶ δικάζοντα ὁ δεσπότης ἀνέγνω ἐλθὼν πρότερον μὲν ἀποδράντα, ἐν ἐκείνῳ δ' οὖν τοῦ καιροῦ πομπεύοντα ἁβρὸν καὶ κυδρούμενον καὶ σὺν τῇ ἀρχῇ θρυπτόμενον. καὶ προσελθὼν ἡσυχῇ κατόπιν θοιματίου λαβόμενος, χαῖρε, εἶπε, τὸ ὄνομα προσθεὶς τὸ ἀρχαῖόν τε καὶ δοῦλον. καὶ ἐκεῖνος ἐκπλήττεται ῥᾳδίως τὸν δεσπότην γνωρίσας καὶ δεῖται σιωπᾶν καὶ ἐς τὰ οἰκεῖα ἄγει, καὶ καταβαλὼν πάμπλειστα, εἶτα μέντοι ἑαυτὸν ἐλύσατο. καὶ αἰδοῖ Ἀντωνίου τῇ κηλῖδι τῇδε σιγὴ κατεχύθη ἀργυρώνητος. ἔκρινα δὴ καὶ ταύτην τῆς τύχης μὴ σιγῆσαι τὴν παιδιάν.

β 110 Βάρβιτον: ψαλτήριον, κιθάρα. εἶδος ὀργάνου μουσικοῦ. ὦ τὸ φίλον στέρξας, φίλε, βάρβιτον. περὶ Ἀνακρέοντος ὁ λόγος. παροιμία ἐπὶ τῶν ἀνομοίων. Ἀριστοφάνης· τίς ἡ στολή; τίς ἡ τάραξις τοῦ βίου; τί βάρβιτος λαλεῖ κροκωτῷ; τί δὲ λύρα κεκρυφάλῳ; τί λήκυθος καὶ στρόφιον; ὡς ἀξύμφορον. τίς δὲ κατόπτρου καὶ ξίφους κοινωνία;

β 111 Βαργαδώθ: υἱὸς λύπης.

β 112 Βαρέως. βασταγμάτων.

β 113 Βαρεῖα χείρ: ἡ δυνατή. συνέστη δὲ πλῆθος ἱκανὸν, καὶ βαρεῖα χεὶρ καὶ παράδοξος.

β 114 Βάρεις: πλοῖα, τείχη, στοαὶ, αὐλαὶ, πύργοι, σφαῖραι. ὁ δὲ ἐπεμέλλετο βαρῶν. τουτέστι τειχῶν. δέξαι μ', εἰ καὶ σοὶ μέγα βρίθεται ὀκρυόεσσα βάρις, ἀποφθίμενον τὸν κύνα Διογένη.

β 115 Βάρεις ἐλεφάντιναι: αἱ πανταχοῦ τῆς γῆς ἐκκλησίαι, μία δὲ τῇ πίστει, ἐν αἷς γεραίρεται ὁ θεός. καὶ Βάρεων, ἡ γενικὴ τῶν πληθυντικῶν. Βάρις δὲ στοὰ καὶ πόλις.

β 116 Βαρθολομαῖος: ὄνομα κύριον.

β 117 Βαρκαίοις: Λιβυκοῖς. Βάρκη γὰρ πόλις Λιβύης, ἡ νῦν Πτολεμαῒς καλουμένη.

β 118 Βάρνη: υἱὸς ἁλλόμενος.

β 119 Βαρόεις.

β 120 Βάρος: ἐπὶ τῶν μεγίστων πόλεων. ἡ δὲ Καπύη μεταθεμένη πρὸς τοὺς Καρχηδονίους τῷ βάρει συνεπεσπάσατο καὶ τὰς ἄλλας πόλεις.

β 121 Βάρος· περὶ Πολέμωνος· ἦν δὲ καὶ τὸ βάρος οἱονεὶ Δώριός τις οἰκονομία. προορώμενος δὲ καὶ κατορρωδῶν τὸ βάρος καὶ τὸ φιλόνεικον τῶν ἀνθρώπων. ἀντὶ τοῦ τὸ πλῆθος, τὴν ἰσχύν. Πολύβιός φησι. καὶ αὖθις· ἐπισημηνάμενος δὲ τοῦ Σικυῶνος τὴν ὀχυρότητα καὶ τὸ βάρος τῆς τῶν Ἀργείων πόλεως ἦλθεν εἰς Ἐπίδαυρον. καὶ αὖθις· ἐπολυπραγμόνησαν ἀκριβῶς τῆς πόλεως τὴν θέσιν καὶ τὸ βάρος. βάρος γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει. οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν λαμπρὸν ποιεῖσθαι μᾶλλον, ἢ τοῖς δρωμένοις.

β 122 Βάρος: ὄνομα κύριον. ἦν δὲ ἱερεύς. καὶ ζήτει τὴν περὶ τούτου ἱστορίαν ἐν τῷ ἔμβαρός εἰμι.

β 123 Βάρρων, ἱστορικός. ἐπιτομὴν τῶν κατ' Ἀλέξανδρον τὸν Μακεδόνα.

β 124 Βαρῶ· αἰτιατικῇ.

β 125 Βαρῶν: τειχῶν.

β 126 Βαρσύμης Πέτρος· ζήτει ἐν τῷ δέξιος.

β 127 Βαρύβρομος: βαρύηχος. καὶ πόντον βαρύβρομον. διὰ τὸν τῶν κυμάτων ψόφον.

β 128 Βαρυδαίμων: ἀτυχής. ὁ δὲ Κρὴς ὑπάρχων καὶ φύσει ποικίλος, πᾶν ἐβάσταζε πρᾶγμα καὶ πᾶσαν ἐπίνοιαν ἐψηλάφα. ἀντὶ τοῦ διεσκέπτετο.

β 129 Βαρυηχέος: τοῦ μέγα ἠχοῦντος. οἱ γὰρ βαρεῖς ποταμοὶ ῥέοντες μέγαν ἦχον ἀπεργάζονται. Ἀριστοφάνης Νεφέλαις· ἀπ' Ὠκεανοῦ βαρυηχέος.

β 130 Βαρύμηνις: μνησίκακος.

β 131 Βαρυνόμενος: καταπονούμενος. Πολύβιος· ὁ δὲ ἐξαναστὰς προῆγε, τὰ μὲν ὑπὸ τῆς ἀρρωστίας, τὰ δὲ ὑπὸ τῆς ἡλικίας βαρυνόμενος. εἶχε γὰρ ο' ἔτος.

β 132 Βαρύνω· αἰτιατικῇ. καὶ Βαριῶ· αἰτιατικῇ.

β 133 Βαρυπήμων: ἄθλιος, βεβαρημένος, κακός.

β 134 Βαρυπρεπής: πολυτελής. καὶ τὸ μέσον τῆς ἡμέρας εὐωχία περιεκέχυτο βαρυπρεπὴς τῷ Λέοντι καὶ πρὸς ἑαυτὴν ἐκάλει.

β 135 Βαρυσυμφορώτατος: δυστυχής. νομίζων ἑαυτὸν βαρυσυμφορώτατον γεγονέναι πάντων ἀνθρώπων.

β 136 Βασάν: αἰσχύνη. εἶπε Κύριος, ἐκ Βασὰν ἐπιστρέψω. ὁ Δαβίδ φησι.

β 137 Βασανίζειν: οὐ τὸ αἰκίζεσθαι καὶ τιμωρεῖσθαι καὶ μαστιγοῦν σημαίνει παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸ χωρὶς πληγῶν ἀνακρίνειν καὶ ἐλέγχειν τἀληθὲς διὰ λόγων· ἀπὸ τῆς βασάνου τῆς χρυσοχοϊκῆς λίθου μεταφορικῶς. καὶ Πολύβιος· τότε νομίσας τὴν ἐκ πυρὸς ἔχειν βάσανον ἀπελύθη τῆς ὑποψίας. καὶ Βασανίσας· αἰτιατικῇ. ἀντὶ τοῦ δοκιμάσας κέχρηνται ἅπαντες οἱ ἀξιόλογοι. ὁ δὲ Ἀριστοφάνης οὕτως· βασάνιζε τουτονὶ λαβών, κἄν ποτέ μ' ἕλῃς ἀδικοῦντ', ἀπόκτεινόν μ' ἄγων. καὶ πῶς βασανίζω; πάντα τρόπον. ἐν πίνακι δήσας, κρεμάσας, ὑστριχίδι μαστιγῶν, δαίρων, στρεβλῶν· ἔτι δ' ἐς τὰς ῥῖνας ὄξος ἐγχέων, πλίνθους ἐπιτιθείς, πάντα τἄλλα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλὴν πράσῳ μὴ τύπτε τοῦτον μηδὲ γητείῳ νέῳ. ἐπειδὴ οἱ ἐλεύθεροι πρὸ τούτου ἐδαίροντο πράσοις καὶ σκορόδοις. βασάνιζε αὐτὸν πανταχῶς, μὴ ἐν παιδιᾷ, μηδὲ ὡς τοὺς ἐλευθέρους παῖδας τῷ ἐκκαυλήματι τοῦ πράσου ἢ τοῦ γητείου, τουτέστιν ἀμπελοπράσου, ἢ ὥς τινες, πράσου φύλλῳ.

β 138 Βασανῖτις: χώρα.

β 139 Βάσανος: λίθος ἐστὶν ἡ τὸ χρυσίον παρατριβόμενον δοκιμάζουσα. οὕτως Ἀντιφῶν καὶ Πίνδαρος καὶ Σοφοκλῆς. Ὑπερίδης δὲ τὰ ἐν ταῖς βασάνοις εἰρημένα ὑπὸ τῶν βασανιζομένων καὶ ἀναγραφομένων βασάνους ὠνόμασε. καὶ παροιμία· Βάσανος λίθος, ἐπὶ τῶν ἐξεταζόντων ἐν λόγοις ἢ ἔργοις· παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει. ὅτι οἱ ἔξω φασίν· ἡ ἀμφισβήτησις κρίσει ἀναρτάσθω, ἡ δὲ κρίσις τοὺς ἐλέγχους βασανιζέτω, ἡ δὲ βάσανος τὸ δέον ὁριζέτω, ὁ δὲ ὅρος γεγράφθω, τὰ δὲ γεγραμμένα κυρούσθω, τὰ δὲ κυρωθέντα βεβαιούσθω τοῖς ἔργοις, καὶ πᾶσα ἀψιμαχία οἰχέσθω, καὶ πάλιν φιλία χορευέτω. καὶ οὐ δεῖ ἀπερισκέπτως ποιεῖσθαι τὰς κρίσεις.

β 140 Βασσαρικά ἤτοι Διονυσιακὰ ἔγραψε Σωτήριχος, γεγονὼς ἐπὶ Διοκλητιανοῦ. καὶ Βασσαρικοῦ. ἐν Ἐπιγράμμασι· στρεπτὸν Βασσαρικοῦ ῥόμβον θιάσοιο μύωπα. τουτέστι πορνικοῦ.

β 141 Βασσαρίς: ἑταῖρα, πόρνη. ἐν Ἐπιγράμμασι· Βασσαρὶς Εὐρυνόμη σκοπελοδρόμος, ἡ ποτὲ ταύρων πολλὰ τανυκραίρων στέρνα χαραξαμένη.

β 142 Βάσσαρος: ἀλώπηξ κατὰ Ἡρόδοτον.

β 143 Βασιλεύω· ὅταν σημαίνῃ τὸ ἐξουσιάζω καὶ ἄρχω, μετὰ γενικῆς συντάσσεται· ὅταν δὲ σημαίνῃ τὸ ποιῶ βασιλέα, αἰτιατικῇ. καὶ τοῦτον μόνον τῶν ἁπάντων οὐ καλῶς ἐφιλανθρωπεύσατο, καὶ σῶσαι καὶ βασιλεῦσαι τὸν κακῶς καὶ σωθέντα καὶ βασιλεύσαντα.

β 144 Βασιλεὺς μέγας: ὁ τῶν Περσῶν. τοὺς δὲ ἄλλους προσετίθεσαν καὶ τῶν ἀρχομένων τὰ ὀνόματα· οἷον Λακεδαιμονίων, Μακεδόνων. διαφέρει δὲ βασιλεὺς τυράννου. βασιλεὺς μὲν γὰρ ἀπὸ προγόνων κατὰ διαδοχὴν τὴν ἀρχὴν ἐπὶ ῥητοῖς λαβὼν πέρασι, τύραννος δὲ, ὃς βιαίως τὴν ἀρχὴν σφετερίζεται. χρῶνται δὲ ἀδιαφόρως ἑκατέροις ὀνόμασιν. Ἱέρωνα γὰρ βασιλέα Πίνδαρος καλεῖ, τύραννον ὄντα, καὶ Διονύσιον· καὶ Εὔπολις Πεισίστρατον βασιλέα καλεῖ. καὶ τοὺς βασιλεῖς τυράννους.

β 145 Βασιλέως ἐγκέφαλος· ζήτει ἐν τῷ Διὸς ἐγκέφαλος. λύσις ὀνείρου· ἄνακτι προσλαλῶν τις ἄπρακτος μένει.

β 146 Βασιλεία: τὸ ἀξίωμα. καὶ τὸ ἔθνος τὸ βασιλευόμενον· οἷον Περσῶν, Ἰνδῶν, Ἀράβων.

β 147 Βασιλεία ἐστὶν ἀνυπεύθυνος ἀρχή. οὐ μόνον δὲ ἐλευθέρους εἶναι τοὺς σπουδαίους, ἀλλὰ καὶ βασιλέας. ἡ γὰρ βασιλεία ἀρχὴ ἀνυπεύθυνος, ἥτις περὶ μόνους ἂν τοὺς σοφοὺς συσταίη. Βασιλεία. οὔτε φύσις οὔτε τὸ δίκαιον ἀποδιδοῦσι τοῖς ἀνθρώποις τὰς βασιλείας, ἀλλὰ τοῖς δυναμένοις ἡγεῖσθαι στρατοπέδου καὶ χειρίζειν πράγματα νουνεχῶς· οἷος ἦν Φίλιππος καὶ οἱ διάδοχοι Ἀλεξάνδρου. τὸν γὰρ υἱὸν κατὰ φύσιν οὐδὲν ὠφέλησεν ἡ συγγένεια διὰ τὴν τῆς ψυχῆς ἀδυναμίαν. τοὺς δὲ μηδὲν προσήκοντας βασιλεῖς γενέσθαι σχεδὸν ἁπάσης τῆς οἰκουμένης.

β 148 Βασιλεία· ὅτι ἡ βασιλεία κτῆμα τῶν κοινῶν, ἀλλ’ οὐ τὰ δημόσια τῆς βασιλείας κτήματα. διὸ τὰς ἐξ ἀνάγκης καὶ μεθ’ ὕβρεως εἰσπράξεις ὥσπερ τυραννικὰς ἀκολασίας μισεῖν δεῖ, τὰς δὲ σὺν λόγῳ καὶ φιλανθρωπίᾳ τῶν εἰσφορῶν ἀπαιτήσεις ὥσπερ κηδεμονίαν τιμᾶν.

β 149 Βασιλείδης: ὁ τοῦ βασιλέως.

β 150 Βασίλειος, Καισαρείας τῆς Καππαδοκῶν ἐπίσκοπος (ἥτις πρῴην Μάζακα ἐκαλεῖτο), ἑταῖρος Γρηγορίου τοῦ Ναδιανδῶν ἐπισκόπου. γέγονε δὲ γονέων περιφανῶν, Βασιλείου τε καὶ

Ἐμμελείας, ὧν ἄνωθεν ἡ συγγένεια· ἀνὴρ ἐλλογιμώτατος καὶ πάσης παιδείας εἰς ἄκρον ἐληλακώς. οὗτος ἔγραψε πλεῖστα, ἐν οἷς θαυμάζεται τὰ εἰς τὴν Ἑξαήμερον. καὶ κατ' Εὐνομίου δὲ ἐξαιρέτους συνέταξε λόγους, καὶ περὶ τοῦ ἁγίου πνεύματος τεῦχος, καὶ τὰς εἰς τὴν Ἑξαήμερον ὁμιλίας θʹ· ἕτερον τεῦχος ἀσκητικόν, περὶ παρθενίας ἄλλο· Ἔπαινον εἰς τοὺς μʹ Μάρτυρας, ἕτερον εἰς Γόρδιον, ἄλλον εἰς Βαρλαάμ, ἕτερον εἰς Ἰουλίτταν. εἰς διαφόρους ψαλμοὺς Ἠθικοὶ λόγοι διάφοροι· ἐπιστολαί, ὧν οὐδὲν ἄμεινον, πρός τε τὸν σοφιστὴν Λιβάνιον καὶ πρὸς τὸν φίλον Γρηγόριον καὶ εἰς ἄλλους πλείονας. τοῦδέ γε Βασιλείου καὶ Φιλοστόργιος μνήμην πεποίηται ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ γράφων οὕτως· Βασίλειος γὰρ ἤκμαζε κατ' ἐκείνους τοὺς χρόνους ἐν Καισαρείᾳ τῆς Καππαδοκίας καὶ Γρηγόριος ἐν τῇ Ναδιανδῷ (σταθμὸς δὲ οὗτος ὁ τόπος Καππαδοκίας) καὶ Ἀπολινάριος ἐν τῇ Λαοδικείᾳ τῆς Συρίας. τρεῖς δὴ οὗτοι ἄνδρες τότε τοῦ ὁμοουσίου προὐμάχουν κατὰ τοῦ ἑτεροουσίου, μακρῷ πάντας παρενεγκόντες τοὺς πρότερον καὶ ὕστερον ἄχρις ἐμοῦ τῆς αὐτῆς αἱρέσεως προστάντας, ὡς παῖδα παρ' αὐτοῖς κριθῆναι τὸν Ἀθανάσιον. τῆς τε γὰρ ἔξωθεν καλουμένης παιδεύσεως ἐπὶ πλεῖστον οὗτοι προεληλύθεσαν, καὶ τῶν ἱερῶν γραφῶν, ὁπόσα εἰς ἀνάγνωσιν καὶ τὴν πρόχειρον μνήμην ἐτέλει, πολλὴν εἶχον τὴν ἐμπειρίαν, καὶ μάλιστά γε αὐτῶν ὁ Βασίλειος. καὶ μὴν καὶ συγγράφειν ἕκαστος αὐτῶν ἐς τὸν ἑαυτοῦ τρόπον ἦν ἱκανώτατος. τῷ μέν γε Βασιλείῳ τὸ πανηγυρικὸν εἶδος τοῦ λόγου μακρῷ ἄριστα εἶχεν· ἦν γὰρ πανηγυρίσαι λαμπρότατος· ὁ δέ γε Ἀπολινάριος ἐν τῷ ὑπομνηματικῷ εἴδει τῆς λέξεως καὶ αὐτὸς ἄριστα εἶχε· τῷ δέ γε Γρηγορίῳ καὶ παρ' ἀμφοτέροις ἐξεταζομένῳ μείζω βάσιν εἰς συγγραφὴν εἶχεν ὁ λόγος. τοσαῦτα περὶ αὐτῶν ὡς ἐν παραδρομῇ Φιλοστόργιος ὁ Ἀρειανὸς ἔγραψε. τελευτᾷ δὲ Βασίλειος Γρατιανοῦ τὰ Ῥωμαίων σκῆπτρα διέποντος. ὅτι ὁ μέγας Βασίλειος ἀδελφοὺς εἶχε δʹ, τόν τε Γρηγόριον τὸν Νύσσης ἐπίσκοπον, καὶ Πέτρον καὶ αὐτὸν ἐπίσκοπον, καὶ ἑτέρους δύο μονάσαντας.

β 151 Βασίλειος, Ἀγκυρανὸς, ἐπίσκοπος τῆς αὐτῆς πόλεως, ἰατρὸς τὴν τέχνην. οὗτος ἔγραψε κατὰ Μαρκέλλου, καὶ περὶ παρθενίας, καὶ ἕτερα οὐκ ὀλίγα ἄλλα. βασιλεύοντος Κωνσταντίνου Μακεδονιανῆς θρησκείας ἅμα Εὐσταθίῳ Σεβαστιανῷ ἦρξεν.

β 152 Βασίλειος ἕτερος, ἐπίσκοπος Εἰρηνουπόλεως τῆς Κιλικίας, ἐπὶ Ἀναστασίου βασιλέως, τὴν φρένα καὶ τὴν ἄσκησιν τῷ ὁμωνύμῳ Βασιλείῳ Καισαρείας ἐοικώς. ἔγραψε κατὰ Ἀρχελάου πρεσβύτου Κολωνείας.

β 153 Βασίλειος· τὰ διὰ τοῦ ιος ὀνοματικὰ διὰ τοῦ ι γράφονται, πλὴν δʹ, Ἄρειος, Ἡράκλειος, Βασίλειος. καὶ Βασίλειος στοά· δύο εἰσὶ στοαὶ παρ' ἀλλήλας, ἥ τε τοῦ Ἐλευθερίου Διὸς καὶ ἡ Βασίλειος. ἔστι δὲ καὶ γʹ, ἣ πάλαι μὲν Πααναάκτιος ἐκαλεῖτο, νῦν δὲ μετωνομάσθη Ποικίλη.

β 154 Βασίλειοι παῖδες ἑξακισχίλιοι· οἵτινες κατὰ πρόσταξιν Ἀλεξάνδρου τοῦ Μακεδόνος τὰ πολέμια ἐξήσκουν ἐν Αἰγύπτῳ.

β 155 Βασιλειῶντα κτείνει: ἐπιθυμοῦντα βασιλεῦσαι.

β 156 Βασιλήϊος.

β 157 Βασιλική· ὅτι ἐν τῇ βασιλικῇ ὀπίσω τοῦ μιλίου ἵστατο ἀνδρείκελον ἄγαλμα χρυσέμβαφον, ἔνθα ἦν καὶ τὸ ἔξαμμον ἕως Ἡρακλείου τοῦ βασιλέως, γονυκλινὲς Ἰουστίνου τοῦ τυράννου. ἐκεῖ ὁ Τέρβελις ἐδημηγόρησεν· ἐν οἷς ἐλέφας ἵστατο παμμεγέθης, ὑπὸ Σευήρου κατεσκευασμένος. ἔνθα ἦν καὶ σχολὴ φυλαττόντων πολλή· ἔμενε δὲ ἐκεῖσε ἀργυροκόπος ἐν πλαστοῖς ζυγοῖς τὴν πράσιν ποιούμενος. καὶ τοῦ οἰκήματος αὐτοῦ πορθουμένου ἠπείλει τῷ τὸν ἐλέφαντα φυλάττοντι θάνατον, εἰ μὴ τοῦτον κρατήσειεν. ὁ δὲ θηροκόμος οὐκ ἐνεδίδου· ὃν φονεύσας ὁ ζυγοπλάστης δέδωκε βορὰν τῷ ἐλέφαντι. τὸ δὲ θηρίον ἀτίθασσον ὂν καὶ αὐτὸν ἀνεῖλε. καὶ ὁ Σευῆρος ἀκούσας τῷ θηρίῳ θυσίαν ἤνεγκεν. ἐν αὐτῷ δὲ τῷ τόπῳ παρευθὺ ἀνετυπώθησαν τό τε θηρίον καὶ ὁ θηροκόμος. ἔνθα καὶ Ἡρακλῆς ἐλατρεύθη πολλὰς θυσίας δεξάμενος, ὃς ἐν τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἱπποδρομίῳ μετετέθη. ἐπὶ δὲ Ἰουλιανοῦ ὑπατικοῦ ἀπὸ Ῥώμης ἦλθεν εἰς τὸ Βυζάντιον καὶ εἰσήχθη ἐν ἀπήνῃ καὶ νηὶ καὶ στῆλαι δέκα.

β 158 Βασιλικὴ διαδρομή: ἡ γενομένη τοῦ βασιλέως παρόντος διαδρομή. ἔστι δὲ οὗτος εἷς τῶν Ἀθήνησιν θ′ ἀρχόντων· ὃς βασιλικὴ διαδρομὴ καλεῖται.

β 159 Βασιλικός, σοφιστής. Περὶ τῶν διὰ τῶν λέξεων σχημάτων, Περὶ ῥητορικῆς παρασκευῆς ἤτοι περὶ ἀσκήσεως, Περὶ μεταποιήσεως· καὶ ἄλλα τινά.

β 160 Βασιλίνδα: τὴν βασιλείαν.

β 161 Βασιλίνδα: εἶδος παιδιᾶς.

β 162 Βασιλίς: ἡ τοῦ βασιλέως γυνή· ὡς καὶ βαλανίς, ἡ τοῦ βαλανέως.

β 163 Βασιλίσκος, Βηρίνης ἀδελφὸς τῆς βασιλίδος, ἐπὶ Λέοντος τοῦ βασιλέως ἀντὶ Ῥουστικίου στρατοπεδάρχου ᾑρέθη, εὐεπίτευκτος μὲν ὢν ἐν μάχαις, βραδύνους δὲ καὶ φενακίζουσιν ὑπαγόμενος ῥᾳδίως.

β 164 Βασιλίσκος· ὅτι Βασιλίσκος, ὁ Ῥωμαίων τῶν ἑῴων βασιλεὺς, τῶν ἐκκλησιῶν τοὺς ἐπισκόπους εἰσέπραττε χρήματα καὶ Ἀκάκιον τὸν Κωνσταντινουπόλεως ἐπίσκοπον μικροῦ δεῖν ἀπώσατο, εἰ μὴ τῷ πλήθει τῶν λεγομένων μοναχῶν ἀπεκρούσθη. πολύς τε ἦν πρὸς ἐπιθυμίαν χρημάτων, ὡς μηδὲ αὐτῶν τῶν τὰς εὐτελεῖς καὶ βαναύσους μετιόντων ἐπιστήμας ἀπέχεσθαι. καὶ ἦν ἅπαντα μεστὰ δακρύων τῇ τῶν τοιούτων εἰσφορῶν εἰσπράξει. καὶ ζήτει ἐν τῷ Ἁρμάτος.

β 165 Βάσιμος: πορευτική. εὐεπίβατος. καὶ Βάσιμοι τόποι, οἱ πορεύσιμοι.

β 166 Βάσις: βάδισις. κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις.

β 167 Βασκανία καὶ Βάσκανος. ὅτι τὸ βάσκανος ἁπλῶς ἐπὶ λοιδορίας τιθέασιν. οὐ ψεύδει καίπερ σφόδρα βάσκανος οὖσα.

β 168 Βασκαίνει· δοτικῇ. ἀντὶ τοῦ αἰτιᾶται καὶ μέμφεται καὶ συκοφαντεῖ. οὕτως Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. καὶ ἐν τοῖς ἑξῆς, βάσκανον δὲ καὶ πικρὸν καὶ κακόηθες οὐδέν ἐστι πολίτευμα ἐμὸν, φησίν. ἀντὶ τοῦ φιλαίτιον καὶ συκοφαντικόν.

β 169 Βασκαίνω σοι ἀεί· ὁ δὲ Λιβάνιος αἰτιατικῇ· τὸν προσήκοντα βασκαίνουσι.

β 170 Βασμοί: βαθμοί.

β 171 Βάσσος Κορίνθιος· Ἀπολλώνιος πρὸς τοῦτον διηνέχθη. πατραλοίας μὲν γὰρ οὗτος ἐδόκει καὶ ἐπεπίστευτο, σοφίαν δὲ ἑαυτοῦ κατεψεύδετο, καὶ χαλινὸς οὐκ ἦν ἐπὶ τῇ γλώττῃ. λοιδορούμενον δὲ αὐτὸν ἐπέσχεν ὁ Ἀπολλώνιος, οἷς τε ἐπέστειλεν οἷς τε διελέχθη κατ᾽ αὐτοῦ. πᾶν γὰρ ὅπερ ὡς ἐς πατραλοίαν ἔλεγεν, ἀληθὲς ἐδόκει· μὴ γὰρ ἄν ποτε τοιόνδε ἄνδρα ἐς λοιδορίαν ἐκπεσεῖν μηδὲ ἀνειπεῖν τὸ μὴ ὄν.

β 172 Βαστάζω· αἰτιατικῇ.

β 173 Βαστάσας: ἀντὶ τοῦ δοκιμάσας. Εὔπολις· ἄγε δὴ, πότερα βούλεσθε τὴν διάθεσιν ᾠδῆς ἀκούειν ἢ τὸν ἀρχαῖον τρόπον; ἀμφότερ᾽ ἐρεῖς. ἐγὼ δ᾽ ἀκούσας τὸν τρόπον, ὃν ἂν δοκῇ μοι βαστάσας, αἱρήσομαι. πᾶν τὸ συμβησόμενον ἐπὶ λόγον ἄγων καὶ βαστάζων. ἀντὶ τοῦ δοκιμάζων. καὶ Βάσταγμα· δῆλον ἐπένετο διότι μέγα τὸ βάσταγμα τῆς πόλεως ἦν. πλεῖον γὰρ κ′ μυριάδων ὅπλα παρέδωκαν Ῥωμαίοις καὶ καταπέλτας ͵β′. καὶ Βαστάσαι οὐ τὸ ἆραι δηλοῖ παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸ ψηλαφῆσαι καὶ διασηκῶσαι καὶ διασκέψασθαι τῇ χειρὶ τὴν ὁλκήν.

β 174 Βασταχθείη: ἀρθείη, κλαπείη. ὁ δὲ Λακύδης σφραγισάμενος διὰ τῆς ὀπῆς τὸν δακτύλιον ἐρρίπτει, ὡς μηδέποτε αὐτοῦ περιαιρεθείη καί τι βασταχθείη τῶν ἀποκειμένων.

β 175 Βάτα Κάρας: ἐπὶ τῶν παχέων καὶ δυνατῶν. κατὰ διαστολὴν δὲ ἀναγνωστέον.

β 176 Βατά: βάσιμα. Ἀρριανός· πάντα δὲ τῷ Ἀλεξάνδρῳ βατά τε καὶ ἐξαιρετέα εἶναι ἐδόκει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

β 177 Βάταλος: βδελυρὸς, αἰσχρός.

β 178 Βάταλος: οὕτως ἐκλήθη ὁ Δημοσθένης νέος ὢν, ὡς γυναικώδης· γηράσας δὲ ἀργὰς, ἀπὸ ὄφεως οὕτω καλουμένου.

β 179 Βαταναία: χώρα.

β 180 Βατταρισμοί: φλυαρίαι.

β 181 Βατήρ: ἡ ἀρχὴ τοῦ τῶν πεντάθλου σκάμματος. αὐτὸν κέκρουκας τὸν βατῆρα τοῦ λόγου, φησί τις. οἷον τὸ ἐπικαιρότατον καὶ τὸ πρῶτον.

β 182 Βατίς: εἶδος ἰχθύος. καὶ Βατιδοσκόποι, οἱ ὀψοφάγοι.

β 183 Βαττολογία: ἡ πολυλογία. ἀπὸ Βάττου τινὸς, μακροὺς καὶ πολυστίχους ὕμνους ποιήσαντος, ταυτολογίας ἔχοντας.

β 184 Βατός: ὁ βάσιμος τόπος.

β 185 Βάττος: ὄνομα κύριον. ἰσχνόφωνος καὶ τραυλός. πόλις ἦν Κρητικὴ Ὀαξός, ἐν τῇ Ἐτέαρχος βασιλεὺς, ὃς ἐπὶ θυγατρὶ ἀμήτορι, τῇ οὔνομα ἦν Φρονίμη· παρέχουσά τε κακὰ καὶ πᾶν ἐπ’ αὐτῇ μηχανωμένη, καὶ τέλος μαχλοσύνην ἐπενεγκοῦσά οἱ πείθει τὸν ἄνδρα ταῦτα ἔχειν οὕτως. ὁ δὲ ἀναγνωσθεὶς ὑπὸ τῆς γυναικὸς ἔργον οὐχ ὅσιον ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί. ἦν γὰρ δὴ Θεμίσων ἀνὴρ Θηραῖος ἔμπορος ἐν τῇ Ὀαξῷ· τοῦτον ὁ Ἐτέαρχος παραλαβὼν ἐπὶ ξεινίᾳ ἐξορκοῖ ἦ μέν οἱ διηκονήσειν ὅ τι ἂν δεηθείη. ἐπεί τε δὴ ἐξώρκωσεν, ἀγαγών οἱ παραδιδοῖ τὴν ἑαυτοῦ θυγατέρα καὶ ταύτην ἐκέλευε καταποντῶσαι ἀπαγαγόντα. ὁ δὲ Θεμίσων περιεμέκτησεν ἐν τῷ πελάγει, καὶ ἀφοσιούμενος τὴν ἐξόρκωσιν τοῦ Ἐτεάρχου σχοινίοις αὐτὴν διαδήσας καθῆκεν ἐς τὸ πέλαγος, ἀνασπάσας δὲ ἀφίκετο ἐς τὴν Θήραν. ἐντεῦθεν δὲ τὴν Φρονίμην παραλαβὼν Πολύμνηστος, ἐὼν τῶν Θηραίων ἀνὴρ δόκιμος, ἐπαλλακεύετο. χρόνου δὲ περιιόντος ἐξεγένετό οἱ παῖς ἰσχνόφωνος καὶ τραυλὸς, τῷ οὔνομα ἐτέθη Βάττος.

β 186 Βάττου σίλφιον: ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων. οἱ γὰρ Κυρηναῖοι ἑνὶ τῶν Βάττων ἐξαίρετον ἔδοσαν τὸ σίλφιον, καὶ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου Ἄμμωνα, ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν. οἱ δὲ ἐπὶ Λιβύης Ἀμπελιῶται εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου.

β 187 Βάττου σίλφιον· Ἀριστοφάνης Πλούτῳ· οὐδ’ ἂν δοίης γέ μοι καὶ τὸ Βάττου σίλφιον. τὸ ἐν τῇ Λιβύῃ, ὃ θεραπεύει πολλά· ἡδύοσμόν ἐστι καὶ πολύτιμον. Βάττος γὰρ τὴν Κυρήνην κτίζει.

β 188 Βάτων, κωμικός· δράματα αὐτοῦ Συνεξαπατῶν, Ἀνδροφόνος, Εὐεργέται.

β 189 Βατράχειον: εἶδος χρώματος. ἀπὸ τούτου καὶ βατραχὶς ἱμάτιον. ἐχρίοντο δὲ τῷ βατραχείῳ τὰ πρόσωπα πρὶν ἐπινοηθῆναι τὰ προσωπεῖα. καὶ Βατραχίς, εἶδος ἐσθῆτος ἀνθίνης, ὅμοιον τῷ ὀνόματι ἐχούσης τὸ χρῶμα. καὶ Βατράχειος μοῖρα.

β 190 Βάτραχος ἐκ Σερίφου: ἐπὶ τῶν ἀφώνων. παρόσον οἱ ἐν Σερίφῳ βάτραχοι κομισθέντες εἰς Σκῦρον οὐκ ἐφθέγγοντο.

β 191 Βατράχῳ ὕδωρ: ὡς γαλῇ στέαρ. ἐπὶ τῶν ταῦτα διδόντων, οἷς χαίρουσιν οἱ λαμβάνοντες. καὶ Βατράχοις οἰνοχοεῖς, ἐπὶ τῶν ταῦτα παρεχόντων, ὧν οὐ χρῄζουσιν οἱ λαμβάνοντες.

β 192 Βαΰζων: ὑλακτῶν. Ἀριστοφάνης· βαΰζων καὶ γὰρ ἐγὼ τοιοῦτος ἦν. ἀντὶ τοῦ ἤμην.

β 193 Βαυκαλᾶν: τιθηνεῖσθαι μετ’ ᾠδῆς τὰ παιδία.

β 194 Βαῦνος: κάμινος. ἐξ οὗ καὶ βάναυσοι. οἱ διὰ πυρὸς ἐργαζόμενοι, οἱ τεχνῖται.

β 195 Βαυὼ καὶ Δημώ: ὀνόματα σοφῶν γυναικῶν. ἐξένισεν ἡ Βαυὼ τὴν Δημώ.

β 196 Βάψας τὴν κώπην ἔπλευσας, ἐλθὼν πρὸς τοὺς ναυτοδίκας, οἳ τὰς τῆς ξενίας ἐδίκαζον. ἢ ἀπὸ τῶν φαρμακοποιούντων. λέγουσι γὰρ τὸ βάψας ποιήσω μέλαν.

β 197

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βδέλλα· ὁ Σολομών φησι· τῇ βδέλλῃ ἦσαν γʹ θυγατέρες ἀγαπήσει ἀγαπώμεναι· καὶ αἱ γʹ αὗται οὐκ ἐνεπίμπλαντο, καὶ ἡ δʹ οὐκ ἠρκέσθη εἰπεῖν ἱκανή. βδέλλα ἡ ἁμαρτία. θυγάτηρ αὐτῆς πορνεία, φθόνος, εἰδωλολατρία, αἳ οὐκ ἐμπίπλανται διὰ τῶν ἀτόπων πράξεων. ἡ δʹ ἡ πονηρὰ ἐπιθυμία.

β 198 Βδέλλεται: ἀμέλγει. Πλάτων εἰς τὸν Θεαίτητον βδάλλεται λέγει.

β 199 Βδέλυγμα: πᾶν εἴδωλον καὶ πᾶν ἐκτύπωμα ἀνθρώπου οὕτως ἐκαλεῖτο παρὰ Ἰουδαίοις.

β 200 Βδέλυγμα ἐρημώσεως: τὸν Ἀδριανοῦ τοῦ βασιλέως ἀνδριάντα. ὁ γὰρ Ἀδριανὸς καθεῖλε τὴν πόλιν ἄρδην. μετὰ γὰρ τὴν Οὐεσπασιανοῦ καὶ Τίτου γενομένην ἐρήμωσιν ἐπὶ Ἀδριανοῦ συστάντες οἱ Ἰουδαῖοι ἐσπούδαζον ἐπὶ τὴν προτέραν ἐπανελθεῖν πολιτείαν. στασιάσαντες οὖν εἰς παντελῆ ἐρήμωσιν ἑαυτοὺς κατέστησαν· καὶ τὸ ἑαυτοῦ ὄνομα ἐπέθηκε τοῖς λειψάνοις τῆς πόλεως Αἰλίαν αὐτὴν προσαγορεύσας· Αἴλιος γὰρ Ἀδριανὸς ἐκαλεῖτο.

β 201 Βδέλυγμα ἐρημώσεως: σημεῖον τῆς ἐρημώσεως. ἦσαν δὲ εἰκόνες τινὲς ἀπηγορευμέναι τῷ νόμῳ, εἰς τοῦτον εἰσκομιζόμεναι. ὃ δὴ Πιλᾶτος πεποίηκε νύκτωρ ἐς τὸν ναὸν τοῦ βασιλέως εἰκόνα εἰσαγαγών.

β 202 Βδέλυγμα ἐρημώσεως· ὅτι Ἀντίοχος ὁ Ἐπιφανὴς, υἱὸς Σελεύκου τοῦ Φιλοπάτορος, ἀνὴρ ὑπάρχων δεινὸς καὶ πλεονέκτης· ὃς παραλαβὼν τὴν πόλιν δορυάλωτον ἀνεῖλε μυριάδας ιηʹ. κατατολμήσας οὖν καὶ εἰς τὸ ἁγίασμα εἰσελθὼν ἐν ὑπερηφανίᾳ πολλῇ καὶ στήσας βωμὸν καὶ εἴδωλον βδέλυγμα ἐρημώσεως καὶ τὸν ναὸν μιάνας δι’ ἀκαθάρτων θυσιῶν ἱερὸν Διὸς Ὀλυμπίου προσηγόρευσεν· καὶ τοὺς μὴ ἀπογευομένους τῶν χοιρείων κρεῶν ἀνῄρει. ἐφ’ οὗ καὶ οἱ ἅγιοι Μακκαβαῖοι ἀνῃρέθησαν. οἱ δὲ λέγουσιν Ἀδριανὸν στῆσαι τὸν ἀνδριάντα. ζήτει τὴν κατασκευὴν τοῦ τοιούτου ἀγάλματος ἐν τῷ Ἀντίοχος.

β 203 Βδελυγμία· ὁ Χρυσόστομος ἐχρήσατο τῇ λέξει ταύτῃ ἐν τῇ κατὰ Ἰωάννην ἑρμηνείᾳ τοῦ εὐαγγελίου.

β 204 Βδελυρός: αἰσχροποιός. Αἰλιανός· καὶ ἥ γε πασῶν βδελυρωτέρα καὶ τὸν παναγέστατον παρθενῶνα τῶν ἑαυτῆς ἐνέπλησε κακῶν. καὶ Βδελυρία, ἡ ἀκολασία.

β 205 Βδελύσσω· αἰτιατικῇ.

β 206 Βδελύττεσθαι· αἰτιατικῇ. μυσάττεσθαι, ναυτιᾶν, ἀποστρέφεσθαι. Ἀπολλόδωρος Κυρηναῖος, μισεῖν. ἀπὸ τούτου καὶ ἡ βδελυγμία ἀπὸ τοῦ μίσους· καὶ ἡ βδελυρία. καὶ βδελυττόμενον τὸν Λέπρεον ἀπὸ Μελανθίου. οὗτος εἶχε λέπραν. ἐκωμῳδεῖτο δὲ καὶ εἰς μαλακίαν. ἦν δὲ καὶ κακοπράγμων καὶ ὀψοφάγος καὶ λάλος. νὴ τοὺς θεοὺς, ὃς οὐκ ἰδὼν βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου.

β 207 Βδέννυσθαι: ἐκκενοῦσθαι τὴν κοιλίαν σημαίνει, οὐ τὸ πέρδεσθαι. ὃ καὶ ἐπιχωριάζει μέχρι τοῦ νῦν· βδέει γὰρ λέγομεν.

β 208 Βδύλλετε: εὐτελίζετε, φοβεῖσθε, καὶ τρέμετε. Ἀριστοφάνης· τί βδύλλεσθ’ ἡμᾶς; οὔτι που πολλαὶ δοκοῦμεν εἶναι; καὶ μὴν μέρος γ’ ἡμῶν οὔπω τὸ μυριοστόν.

β 209 Βδύλλει: καταπέπληγε, βδελύττεται, μισεῖ. ὅ τε πένης βδύλλει λεώς.

β 210 Βαιαί: μικραί. καὶ Βαιός, ἰδίως ἀντὶ τοῦ εἷς. Σοφοκλῆς· πότερον ἐχώρει βαιὸς ἢ πολλοὺς ἔχων λοχίτας ἄνδρας; καὶ ἐν Αἰχμαλωτίσιν· ἔσπεισα βαιᾶς κύλικος ὥστε δεύτερα. καὶ αὖθις· ὁ δ’ εἶπε πρός με βαιὰ, ἀεὶ δ’ ὑμνούμενα· γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. κἀγὼ μαθοῦσ’ ἔληξ’· ὁ δ’ ἐσσύθη μόνος.

β 211 Βαιθήλ: θεῖος ναός.

β 212 Βαίτη: διφθέρα. Βαίτη δὲ κἂν θέρει καὶ ἐν χειμῶνι ἀγαθόν, ἐπὶ τοῦ κατὰ τὴν χρείαν προσφόρου.

β 213 Βαιτική: ἡ ἤπειρος.

β 214 Βεβαλανωμένον: ἀντὶ τοῦ κατεχόμενον ὑπὸ τῆς κόπρου. Ἀριστοφάνης· μή με περιΐδης διαρραγέντα, μηδὲ βεβαλανωμένον.

β 215 Βεβαιῶ· αἰτιατικῇ.

β 216 Βεβαιώσεως: δίκης ἐστὶν ὄνομα, ἣν δικάζοντες οἱ ὠνησάμενοί τι.

β 217 Βέβηκεν: ἕστηκεν, ἐπέπηκτο.

β 218 Βέβηλος τόπος: ὁ βατὸς πᾶσι καὶ ἀκάθαρτος. καὶ βέβηλος ἀνήρ, ὁ ἀμύητος καὶ μιαρός. Εὐριπίδης· οὐ θέμις βεβήλοις ἅπτεσθαι δόμων. καὶ, ἀείδω ξυνετοῖσι, θύρας δ’ ἐπίθεσθε βέβηλοι. καὶ Βεβηλοῦνται, μιαίνονται.

β 219 Βεβηκός: ἀσφαλές.

β 220 Βέβιος Κρίσπος· ζήτει περὶ δείπνου ἐν τῷ Βιτέλλιος.

β 221 Βέβριθε: βαρύνεται.

β 222 Βεβριθυῖα: βαρεῖα, ἰσχυρά.

β 223 Βέβρυχεν: ἠχεῖ.

β 224 Βεβυσμένα: λαθραῖα, ἢ πεπρωμένα. καὶ Βεβυσμένον, πεπληρωμένον. κεκαλυμμένον. Ἀριστοφάνης· δός μοι χυτρίδιον σπογγίῳ βεβυσμένον. ἢ ὅτι χύτραν ἔφερον, ἐν ᾗ ἦν σπόγγος πεπληρωμένος μέλιτος, ἣν ἐτίθεσαν ἐν τῷ στόματι τῶν παίδων, διὰ τὸ ἐκμυζᾶν· ἢ ὅτι οἱ πένητες τὰ τρήματα τῆς χύτρας σφηνοῦσι σπόγγοις. ἢ τετρημένα πανταχοῦ.

β 225 Βέβυστο: ἐπεπλήρωτο. βέβυστο δὲ πᾶσα χόλοιο.

β 226 Βεελφεγώρ: Βέελ, ὁ Κρόνος· Φεγώρ, ὁ τόπος, ἐν ᾧ ἐτιμᾶτο. ἐτελέσθησαν οὖν τῷ Βεελφεγώρ. ἀντὶ τοῦ ἐν τῷ τόπῳ τοῦ Φεγὼρ εἰδώλου.

β 227 Βεζέκ: ἀστραπή. Ἰεζεκιήλ· ἀνέκαμπτον δὲ ὡς εἶδος τοῦ Βεζέκ. ὅ ἐστι τῆς ἀστραπῆς.

β 228 Βεκεσέληνε: ἤτοι ἀπόπληκτε καὶ σεληνόπληκτε· ἢ τὰ β′ σύγκειται ὡς ἓν, τὸ βέκος καὶ ἡ σελήνη· ἀρχαῖα δὲ ἀμφότερα. ἢ ὅτι οἱ Λυδοὶ τὸν ἄρτον βέκος ἐκάλουν ἢ Φρύγες. διεβάλλοντο δὲ ὡς ἀνόητοι. ἀπὸ τῆς οὖν διαλέκτου σκώπτει αὐτούς. ἡ δὲ περὶ τοῦ βέκε ἱστορία, ἥ ἐστι φωνὴ Φρυγῶν σημαίνουσα τὸν ἄρτον, παρὰ Ἡροδότῳ φανερά ἐστιν ἐν β′.

β 229 Βεκεσέληνε: ἀρχαῖε, τουτέστιν ἀνοητότατε. παρῆκται δὲ ἀπὸ τοῦ προσέληνε. τοὺς γὰρ Ἀρκάδας ἀρχαιοτάτους καὶ πρὸ τῆς σελήνης φάσκοντας γεγονέναι προσελήνους ἐκάλουν. βεκεσέληνε οὖν ὡς προσέληνε. ἔχεται δὲ καὶ αὐτὸ καθ’ αὑτὸ τὸ βεκεσέληνε ἱστορίας τοιαύτης. Ψαμμήτιχος Αἰγυπτίων βασιλεύσας ἠθέλησε γνῶναι, τίνες πάντων ἀνθρώπων πρεσβύτεροι καὶ πρῶτοι γένοιντο. ὡς δὲ πάνυ πολυπραγμονῶν οὐχ οἷός τε ἦν ἀνευρεῖν τὸ ἀκριβὲς διὰ τὸ πολλοὺς περὶ τούτου φιλονεικεῖν, μηχανᾶταί τι τοιοῦτο. λαβὼν ἀρτίτοκα δύο παιδία εἰς οἴκημα κατέκλεισεν ἀνακεχωρηκὸς παντάπασι. καὶ οἱ μὲν λέγουσιν, ὡς αἶγας ὑπέπεμπεν αὐτοῖς, ἃς θηλάζοντα ἐτρέφετο τὰ παιδία· οἱ δὲ, ὡς τροφοὺς παρέστησε τὰς γλώσσας αὐτῶν ἐκτεμὼν ὥστε τῆς φωνῆς αὐτῶν μὴ ἀκούειν τὰ παιδία. ταῦτα δὲ ὁ Ψαμμήτιχος ἐποίει βουλόμενος εἰδέναι, τίνα ποτὲ τὰ παιδία πρώτην προήσουσι φωνὴν, ἀπαλλαγέντα τῶν ἀσήμων κνυζημάτων. ὡς οὖν τριετὴς αὐτοῖς διεγεγόνει χρόνος· τῆς τοιαύτης τροφῆς, εἰσέπεμψεν εἰς τὸν οἶκόν τινα τῶν φιλτάτων ἐντειλάμενος σιωπῇ παρελθεῖν. τοῦ δὲ ἀνεῴξαντος τὰς θύρας, ὀρέγοντα τὰς χεῖρας τὰ παιδία βέκος ἐκάλουν. Φρύγας δὲ τὸν ἄρτον οὕτως καλεῖν. καὶ οὕτω μὲν Ψαμμήτιχον εὑρεῖν τε καὶ πιστεῦσαι γεγονέναι πρώτους Φρύγας. εἰ δὲ ὁ πρῶτος λόγος ἀληθὴς, ὅτι ἐξέθρεψαν τὰ παιδία αἱ αἶγες καὶ οὐ γυνὴ, θαυμαστὸν οὐδὲν, κατακούοντα τῆς αἰγὸς μιμήσασθαι τὴν ἐκείνης φωνὴν, συμπεσεῖν δὲ καὶ παρὰ Φρυξὶ τὸ τοιοῦτον ῥῆμα. οὕτως οὖν καὶ τὸ βεκεσέληνε τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρχαῖον δηλοῖ, συγκειμένης τῆς λέξεως ἐκ τοῦ βέκους, διὰ τὴν εἰρημένην ἱστορίαν· καὶ τοῦ προσέληνε, διὰ τὸ τοὺς Ἀρκάδας προσελήνους καλεῖσθαι.

β 230 Βέλεμνα: βέλη.

β 231 Βελλεροφόντης· ὃν ὁ Προῖτος ἐβούλετο διὰ γραμμάτων αὐτοῦ τῶν πρὸς Ἰοβάτην ἀνελεῖν.

β 232 Βελεστίχη.

β 233 Βελισάριος, ὁ στρατηγὸς, ἦν μὲν τὸ σῶμα καλός τε καὶ μέγας καὶ εὐπρόσωπος πάντων μάλιστα. οὕτω δὲ πρᾶόν τε καὶ εὐπρόσοδον παρεῖχεν αὑτὸν τοῖς ἐντυγχάνουσιν ὥστε ἀνθρώπῳ πένητί τε λίαν καὶ ἀδόξῳ ἐμφερῆ εἶναι. ἔρως δὲ αὐτοῦ τῆς ἀρχῆς πρός τε στρατιωτῶν ἀεὶ καὶ ἀγροίκων ἄμαχός τις ἐγίνετο, ὅτι δὲ ἐς μὲν στρατιώτας φιλοδωρότατος ἐγεγόνει ἀνθρώπων ἁπάντων· τῶν τε γὰρ ἐν ξυμβολῇ ἠτυχηκότων χρήμασι μεγάλοις παρεμυθεῖτο τὰ τραύματα καὶ τοῖς εὐδοκιμήσασι ψέλιά τε καὶ στρεπτοὺς ἆθλα παρείχετο, ἵππου δὲ ἢ τόξου ἢ ἄλλου ὁτουοῦν στρατιώτου ἐν τῇ μάχῃ ἀπολωλότος ἕτερον ἀντ’ αὐτοῦ πρὸς Βελισαρίου αὐτίκα ὑπῆρχεν· ἐς δὲ τοὺς ἀγροίκους, ὅτι δὴ τοσαύτῃ φειδοῖ τε καὶ προνοίᾳ ἐχρῆτο ὥστε βιασθῆναι μὲν αὐτοῖς οὐδὲν πώποτε στρατηγοῦντος Βελισαρίου τετύχηκεν. ἀπεδίδοντο γὰρ αὐτοῖς κατὰ γνώμην τὰ ὤνια πάντα, καὶ ἡνίκα ἀκμάζοι τὰ λήϊα, εἰς τὸ ἀκριβὲς διεφύλασσε, μή τινι παριοῦσα ἡ ἵππος λυμήνηται, τῶν δὲ ὡραίων ἐν τοῖς δένδροις ὄντων ἅψασθαι αὐτῶν οὐδενὶ τοπαράπαν ἐξῆν. ἦν δὲ καὶ σώφρων καὶ λίαν ἐνάρετος.

β 234 Βέλος: καὶ τὸ τραῦμα ὁμωνύμως τῷ τιτρώσκοντι παρ’ Ὁμήρῳ.

β 235 Βελονοπώλης: οὗτος παράσιτος ἦν, ὥς φησιν Ἀριστοφάνης.

β 236 Βέμβηξ: ὁ ξύλινος στρόμβος. οἱ δ’ ἄρ’ ὑπὸ πληγῇσι θοὰς βέμβηκας ἔχοντες ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ. Ἀριστοφάνης· βέμβηκος οὐδὲν διαφέρειν δεῖ. ἀντὶ τοῦ εὐκίνητον καὶ εὔστροφον εἶναι δεῖ. ἔστι δὲ βέμβηξ ἐργαλεῖον, ὃ μάστιγι στρέφουσιν οἱ παῖδες. ἢ παίγνιον τῶν παίδων, ὡς τροχὸς, ὃς μάστιγι δακόμενος στρέφεται. καὶ Βεμβηκιᾶν, τὸ περιστρέφεσθαι. καὶ Βεμβηκίζωσιν. Ἀριστοφάνης· ἵν’ ἐφ’ ἡσυχίας ἡμῶν πρόσθεν βεμβηκίζωσιν ἑαυτούς. Βέμβηξιν.

β 237 Βενεβεντός: ὄνομα πόλεως Καλαβρίας, ἣν κτίζει Διομήδης. εἰς γὰρ τὸν ἀπόπλουν καταχθεὶς εἰς τὰ ἴδια οὐκ ἐδέχθη, ἀλλὰ διωχθεὶς ἀπῆλθεν εἰς Καλαβρίαν καὶ κτίζει πόλιν, ἣν ἐκάλεσεν Ἀργυρίππην, τὴν μετονομασθεῖσαν Βενεβεντόν.

β 238 Βενεβεντὸν λέγουσι πνευμάτων βίαν.

β 239 Βενετιανός: ὄνομα κύριον.

β 240 Βενιαμίν· ἐπὶ Σαμψῶ κρίνοντος τὸν Ἰσραὴλ διὰ τὴν παράνομον μίξιν τοῦ Βενιαμὶν π′ καὶ ζ′ κατηναλώθησαν χιλιάδες. ζήτει ἐν τῷ Σαμψῶν.

β 241 Βέρεδον.

β 242 Βέρεθρον: βάθος. νῦν πλέον ἢ τὸ πάροιθε πύλας κρατεροῖο βερέθρου ὄμμασιν ἀγρύπνοις τρισσὲ, φύλασσε, κύον.

β 243 Βερεκύντῃ· ὁ δὲ ἐν Βερεκύντῃ ἐχειμέριζεν. ἀντὶ τοῦ ἐχείμαζεν.

β 244 Βερέσχεθοι: οἱ ἀνόητοι. πέπλασται δὲ ἡ λέξις παρὰ Ἀριστοφάνει.

β 245 Βεροιαίοις.

β 246 Βεσπασιανός, βασιλεὺς Ῥωμαίων. οὗτος ἦν ἤπιος καὶ προσηνὴς ὡς μηδὲ τὰς εἰς αὐτόν τε καὶ τὴν βασιλείαν γινομένας ἁμαρτίας πέρα τιμωρεῖσθαι φυγῆς· τάς τε γὰρ ἀπεχθείας καὶ τὰ προσκρούματα τῆς διανοίας ταχέως ἀπεσείετο καὶ σκώμματα ῥητόρων, ὑφ’ ὧν ἠφίετο, καὶ δήμων ἐς αὐτὸν ἀπορριπτούμενα κούφως τε καὶ γαληνῶς ἔφερεν· ἔς τε τὰς ἐντεύξεις κοινὸς καὶ δημοτικὸς ὢν ἀπεσκήνου μὲν ἐς τὰ πολλὰ τῶν βασιλείων. οὗτος τοῖς ἀρίστοις τῶν πώποτε

βασιλέων παραβάλλεσθαι ἄξιος ἦν· ὅς γε καὶ τὸν ἰδιώτην ἑαυτοῦ βίον ἐπίδοξον πολλοῖς τε καὶ μεγάλοις ἀπετέλεσε κατορθώμασι. Κλαυδίῳ γὰρ τῷ βασιλεῖ στρατηγῶν ἐπὶ Γερμανοὺς καὶ Βρεττανοὺς λʹ καρτερὰς μάχας πρὸς τοὺς πολεμίους ἀντιπαρεστήσατο. ἐς δὲ τὴν ἡγεμονίαν παρελθὼν μετρίως τε καὶ σωφρόνως τὴν ἀρχὴν διῴκητο, ἐπιθυμητικῶς μὲν δοκῶν ἔχειν χρημάτων· οὐ μὴν ὥστε παρὰ δίκην ἀφαιρεῖσθαί τινα τῶν οἰκείων. καὶ τὸν πλοῦτον οὐκ ἐς τὰς ἡδονάς, ἀλλ’ ἐς τὰς δημοσίας χρείας ἐποιεῖτο. οὔκουν εὕροι τις ἂν ἕτερον πρὸ τοῦδε βασιλέα οὔτε δαψιλέστερον, οὔτε πρὸς τὸ ἴσον τε καὶ δίκαιον ἐξητασμένον τὴν πρὸς τὰς δωρεὰς ἐλευθεριότητα.

β 247 Βεστιάριον: παρὰ Ῥωμαίοις τόπος, ἔνθα ἡ ἀναγκαία ἀπόκειται ἐσθής.

β 248 Βείδιος: ὁ ἔνδοξος.

β 249 Βειέλοπες: οἱ λῶροι.

β 250 Βή τὸ μιμητικὸν τῆς τῶν προβάτων φωνῆς, οὐχὶ βαὶ λέγουσιν Ἀττικοί. Κρατῖνος Διονυσαλεξάνδρῳ· ὁ δὴ λοίσθιος ὥσπερ πρόβατον βὴ βὴ λέγων βαδίζει.

β 251 Βῆ: ἔβη, ἐπορεύθη. καὶ Βῆ δὲ, ἐπορεύθη.

β 252 Βηθανία: πόλις Παλαιστίνης· ὃ δὲ λέγει ὁ εὐαγγελιστὴς Ἰωάννης, ὅτι ταῦτα ἐν Βηθανίᾳ ἐγένετο, ἐσφαλμένως γέγραπται. ἡ γὰρ Βηθανία ἔνθεν ἐστὶ τοῦ Ἰορδάνου· ἡ δὲ Βηθαβαρὰ, ὅπου ἦν Ἰωάννης βαπτίζων, πέραν ἐστὶ τοῦ Ἰορδάνου. γραπτέον οὖν ὀρθῶς οὕτως· ὅτι ταῦτα ἐν Βηθαβαρᾷ ἐγένετο· ἀλλ’ οὐκ ἐν Βηθανίᾳ.

β 253 Βηθσαϊδᾶ.

β 254 Βηθσφαγή.

β 255 Βηθύλος: εἶδος ὀρνέου.

β 256 Βηλός: βαθμὸς θύρας· ἢ οὐρανός.

β 257 Βῆμα: ὁ λίθος τοῦ δικαστηρίου. Ἀριστοφάνης· τὸ δὲ βῆμα τί σοι χρήσιμον ἔσται; τοὺς κρατῆρας καταθήσω καὶ τὰς ὑδρίας.

β 258 Βῆμα: δικαστικὴ τράπεζα. οὐ μακρὰν δὲ τῶν πυλῶν τὸ δικαστικὸν βῆμα προσέταξε δοθῆναι.

β 259 Βημάρχιος, Καισαρεὺς ἐκ Καππαδοκίας, σοφιστής. οὗτος ἔγραψε τὰς Κωνσταντίνου τοῦ βασιλέως πράξεις ἐν βιβλίοις δέκα, μελέτας τε καὶ λόγους διαφόρους.

β 260 Βήνη: ὄνομα πόλεως Κρήτης.

β 261 Βὴξ ἀντὶ πορδῆς: ἐπὶ τῶν ἐν ἀπορίᾳ προσποιουμένων τι πράττειν. παρ’ ὅσον οἱ πέρδοντες λανθάνειν πειρώμενοι προσποιοῦνται βήττειν. καὶ νέα παροιμία· Ἀπορία ψάλτου βήξ.

β 262 Βηρία: πόλις.

β 263 Βηρίνη. Βηρίνης, τῆς γυναικὸς τοῦ μεγάλου Λέοντος, δύο στῆλαι ἦσαν, μία μὲν βορειοτάτη τοῦ ἁγίου Ἀγαθονίκου μετὰ τὴν ἄνοδον τῶν ἀναβαθμῶν, ἑτέρα δὲ κατὰ τὸ μέρος τῆς ἁγίας Βαρβάρας. καὶ ἡ μὲν τοῦ ἁγίου Ἀγαθονίκου γέγονεν ἔτι ζῶντος τοῦ Λέοντος, ἡ δὲ ἄλλη μετὰ τὴν τελευτὴν αὐτοῦ, ἡνίκα Βασιλίσκον τὸν ἀδελφὸν αὐτῆς ἔστεψε, φυγόντος Ζήνωνος τοῦ γαμβροῦ αὐτῆς.

β 264 Βῆρος: στρατηγὸς Ῥωμαίων. οὗτος οὐκ ἦν κατεσπουδασμένος, ἀλλὰ μέθης νόσῳ ἀνειμένος ἐκ τοῦ ἐπὶ πλεῖστον, καὶ ἀπ’ αὐτοῦ θράσει ἀπερισκέπτῳ ἐσαεὶ εἴχετο.

β 265 Βηρούνιον: ὄνομα πόλεως. Νωρικοὶ γὰρ ἔθνος, ἔνθα συὸς χρῆμα θεόπεμπτον τὴν χώραν ἐλυμαίνετο, καὶ αὐτῷ πάντες ἐπιχειροῦντες οὐδὲν ἤνυον, μέχρι τις ἀνὴρ τὸν σῦν περιτρέψας ἐπὶ τοὺς ὤμους ἀνέθετο, οἷόν τι καὶ περὶ Καλυδόνος μυθεύεται. οἱ δὲ Νωρικοὶ ἐπεβόησαν εἷς ἀνὴρ τῇ ἰδίᾳ φωνῇ, τουτέστι βηρούνους. ὅθεν ἡ πόλις Βηρούνιον ἐκλήθη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

β 266 Βησᾶς ἕστηκεν οἷον ἀχανής· οὗτος ἕστηκεν ἀχανὴς καὶ παταγώδης καὶ ὑπόμωρος.

β 267 Βησσηΐς: δῆμός ἐστι τῆς Ἀντιοχίδος Βῆσσα.

β 268 Βία: ἡ ὁρμὴ, ἡ ῥύμη. ὁ δὲ τῇ βίᾳ τοῦ σώματος ἐξωθεῖ τὰς πύλας ἐς τὸ ἔσω.

β 269 Βιάζω· αἰτιατικῇ.

β 270 Βίαντος Πριηνέως δίκη: οὗτος εἷς τῶν ἑπτὰ σοφῶν. λέγεται δὲ εἰς τὰς δίκας δεινότατος γεγονέναι εἰπεῖν· ἐπ' ἀγαθῷ μέντοι τῇ τῶν λόγων ἰσχύϊ ἐχρῆτο. Ἱππῶναξ· δικάζεσθαι Βίαντος τοῦ Πριηνέως κρείσσων.

β 271 Βιαρκέος: τῆς εἰς τὸ ζῆν ἐπαρκούσης. ἐν Ἐπιγράμμασι· βιαρκέος ἄλλος ἀπ' ἄλλης αὔθαιμοι τρισσοὶ δῶρα λινοστασίης.

β 272 Βιβάζει: συζεύει, ὀχεύει.

β 273 Βιβλιαφόρος: γραμματοφόρος. ὁ δὲ πέμπει βιβλιαφόρον μὴ θορυβεῖσθαι παρακελευόμενος. καὶ πᾶσα γραφὴ βιβλιαφόρος λέγεται.

β 274 Βίβλινος οἶνος: ἀπὸ χωρίου οὕτως ἐκλήθη.

β 275 Βιβλίον: ἡ ἐπιστολή.

β 276 Βίβλοι θεοῦ: ἡ γνῶσις αὐτὴ καὶ ἡ ἄληστος μνήμη. Δαβίδ· καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται.

β 277 Βιδίνη: πόλις Σκυθίας.

β 278 Βιαιότερον: ἐπικρατέστερον. τῆς τῶν ἰατρῶν ἐπιστήμης βιαιότερον ἦν τὸ νόσημα.

β 279 Βίαιοι οὗτοι ἐγίνοντο· Φάλαρις, Ἔχετος, Διονύσιος καὶ ὁ Κασσανδρέων τύραννος, ὑπερβαλὼν παρανομίᾳ· καὶ Λίγγις, ἀδελφὸς Ἴλλου νόθος, καὶ οὗτος βίαιος.

β 280 Βιαίων: ὄνομα δίκης ἐστὶ κατὰ τῶν βίᾳ πραττόντων ὁτιοῦν· ὁ δὲ ἁλοὺς ἀποτίνει εἰς τὸ δημόσιον ἴσον τῷ ἑλόντι. Δημοσθένης κατὰ Μειδίου. εἰσὶ δὲ καὶ ἐν τοῖς Λυσιακοῖς φερόμενοι λόγοι βίαιοι. καὶ δῆλον ὅτι οὐκ ἐπὶ φθορᾷ παρθένων οὔτε τὸ ὄνομα οὔτε ἡ δίκη ἐλέγετο, ἀλλὰ καὶ ἐπ' ἄλλων.

β 281 Βιζακίων: μικρῶν λίθων.

β 282 Βιζύη: πόλις Θρᾳκική.

β 283 Βιθίας: ὄνομα κύριον. καὶ ἡ μὲν κατὰ τὸν Βιθίαν ἐλπὶς τούτῳ τῷ τρόπῳ διέπεσεν.

β 284 Βικάριος: παρὰ Ῥωμαίοις διάδοχος.

β 285 Βίκος: τὸ ἀγγεῖον. καὶ Βικίδιον διὰ τοῦ ι ἡ παράδοσις. Ξενοφῶν· Κῦρος γὰρ ἔπεμπε βίκους ἡμιδεεῖς οἴνου. καὶ Βίκος, τὸ σπέρμα.

β 286 Βίκτορα.

β 287 Βινεῖν: τὸ συνουσιάζειν· ἢ τὸ πιπίζειν. ἐν Ἐπιγράμμασι· ἁδὺ τὸ βινεῖν ἐστι· τίς οὐ λέγει; ἀλλ' ὅταν αἰτῇ χαλκὸν, πικρότερον γίνεται ἑλλεβόρου.

β 288 Βινεῖν: περαίνειν. καὶ βινεῖν με διαλελημμένον. καὶ Βινήσομεν. Ἀριστοφάνης· εἶτα βινήσας ἐκεῖθεν αὖθις αὖ κατέπτατο. ὥστ' εἴ τις ἡμᾶς μὴ διαλλάξει ταχὺ, οὐκ ἔσθ' ὅπως μὴ Κλεισθένη βινήσομεν. οὗτος ἐπὶ θηλύτητι ἐκωμῳδεῖτο. καὶ αὖθις Ἀριστοφάνης· ἔπαυσα τοὺς βινουμένους τὸν γρύπον ἐξαλείψας.

β 289 Βῖνος: ὄνομα θεᾶς.

β 290 Βιοδώρα: ἡ γῆ.

β 291 Βίολα: πέδιλα, ὑποδήματα.

β 292

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βίος: σημαίνει δ' παροξυτόνως. Βιὸς δὲ τοῦ τόξου ἡ νευρά.

β 293 Βίος: ποτὲ μὲν ἡ οὐσία τῶν κτημάτων, ποτὲ δὲ αὐτὸ τὸ ζῆν. καὶ παροιμία· Βίον μεμαγμένον, ἐπὶ τῶν εὐδαιμονιζόντων ἐπὶ πολυτελεῖ καὶ ἡδεῖ βίῳ. καὶ παροιμία· Βίον ἀληλεσμένον, ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων.

β 294 Βίος· ἐκ τῶν Φίλωνος. ὅτι ἡ τοῦ Χριστοῦ ἐκκλησία δύο βίους νομοθετεῖ καὶ τρόπους, τὸν μὲν ὑπερφυῆ καὶ τῆς κοινῆς καὶ τῆς ἀνθρωπίνης πολιτείας ἐπέκεινα, οὐ γάμους, οὐ παιδοποιΐας, οὐ περιουσίας ὕπαρξιν παραδεχόμενος, ἀλλ' ὅλον διόλου τῆς κοινῆς συνήθους τῶν βιωτικῶν ἀνθρώπων ἀγωγῆς παρηλλαγμένος. καὶ μετ' ὀλίγα· ὁ δὲ δεύτερος καὶ ὑποβεβηκὼς ἀνθρωπινώτερος καὶ τοῦ πρώτου λίαν ἀσύγκριτος, ὃς καὶ γάμοις συγκατιέναι σώφροσι καὶ παιδοποιΐαις, οἰκονομίας τε τῆς κατὰ τὸ δίκαιον ἐπιμελεῖσθαι καὶ στρατευομένοις τὰ πρακτέα ὑποτίθεσθαι, ἀγρῶν τε καὶ ἐμπορίας καὶ τῆς ἄλλης πολιτικωτάτης ἀγωγῆς μετὰ τοῦ θεοσεβοῦς φροντίζειν, οἷς καὶ ἀσκήσεων καιροὶ μαθητείας τε καὶ τῶν θείων λογίων ἀκροάσεως ἀφωρίσθησαν, καὶ δεύτερος εὐσεβείας ἀπενεμήθη βαθμὸς, κατάλληλον τῷ τοιῷδε βίῳ παρέχων τὴν ὠφέλειαν. τοῦ ἁγίου Ἀθανασίου. δύο εἰσὶν ὁδοὶ ἐν τῷ βίῳ καὶ δύο πολιτεῖαι, ἡ μὲν μετριωτέρα καὶ βιωτικὴ φέρουσα καρπὸν ἐν λʹ, ἡ δὲ ἀγγελικὴ καὶ ἀποκόσμιος φέρουσα καρπὸν τὸν τέλειον ἐν ρʹ. ὡσαύτως καὶ ὁ παλαιὸς βίος εἰς δύο διῃρεῖτο, εἰς τὸν Φαρισαϊκὸν καὶ ὑψηλὸν καὶ εἰς τὸν ὑποδεέστερον τὸν κοσμικόν. κατὰ δὲ φιλοσόφους βίων αἱρέσεις τρεῖς ἠθικαί· [Start of a diagram][Start of a diagram section]θεωρητική[End of a diagram section] [Start of a diagram section]πρακτική[End of a diagram section] [Start of a diagram section]λογική.[End of a diagram section][End of a diagram]

β 295 Βίος ἀκανθώδης: ὁ τραχὺς καὶ σκληρὸς, ὁ παλαιός. καὶ Βίος ἀληλεσμένος, ὁ εὐχερὴς καὶ ἡδύς. ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων. καὶ Βίος ἐξηυλημένος, ἐπὶ τῶν ἀχρήστων. ἐκ μεταφορᾶς τῶν ἀχρείων αὐλῶν. καὶ Βίος μεμαγμένος, ἐπὶ τῶν ἐξ ἑτοίμου καὶ ἀπόνως τρεφομένων.

β 296 Βιοστερῆ: ἐνδεᾶ. κἀπὶ προσπόλου μιᾶς βιοστερῆ χωροῦντα.

β 297 Βιοτὴ καὶ Βίοτος: ζωὴ, καὶ τὰ πρὸς τὸ ζῆν· καὶ ἡ οὐσία. ἐν Ἐπιγράμμασιν· Ἑλλήνων βιοτῇ δεύτερον ἠέλιον.

β 298 Βιοτεύω, Βιοτεία καὶ Συμβιοτεύω.

β 299 Βιοῦται: ἀντὶ τοῦ ζῇ ἢ ζήσεται. οὕτως Ἡρόδοτος.

β 300 Βιῶναι: ζῆσαι.

β 301 Βιώνης: ὁ τὰ δημόσια ἀγοράζων.

β 302 Βιῶνται: μετὰ βίας εἰσελεύσονται. προδήλου δ' οὔσης τοῖς Καρχηδονίοις τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς, ὅτι βιῶνται διὰ τοῦ πτώματος τοῦ τείχους, παρεσκευάζοντο πρὸς τὴν χρείαν.

β 303 Βιώσιμος: ἐλπίδα ἔχων τοῦ ζῆσαι. ὁ δὲ ἀνέβλεψέ τε καὶ ἔφη, ὅτι βιώσιμος εἴη.

β 304 Βιώσιμος: ὁ ζῆσαι ἐν βίῳ δυνάμενος.

β 305 Βιώτω: ζησάτω.

β 306 Βίρρον: ἱμάτιον Ῥωμαϊκόν.

β 307 Βιστάκια: τὰ παρ' ἡμῖν πιστάκια λεγόμενα.

β 308 Βιστονία: ἐπίθετον τῆς γεράνου. ἁρπάκτειραν ἐρύκων σπέρματος ὑψιπετῆ Βιστονίαν γέρανον.

β 309 Βιτέλλιος, βασιλεὺς Ῥωμαίων, ὁ Γάλβαν διαδεξάμενος, πᾶν αἶσχος ἀναδεδεγμένος ἔν τε τοῖς ἄλλοις τοῖς κατὰ τὸν βίον καὶ οὐχ ἥκιστα τῷ κατὰ γαστρὸς ἀκρατῶς τε καὶ ἀκορέστως ἔχειν. πολλάκις γὰρ οὐ μόνον τῆς ἡμέρας, ἀλλὰ καὶ τῆς νυκτὸς σῖτον ᾑρεῖτο καὶ παρὰ τὰς δείπνων

παρασκευὰς τὸ πολὺ τῶν δημοσίων ἀπετρύετο. δέκα γὰρ δὴ μυριάδας ἀργυρίου ἐπὶ δισχιλίαις καὶ φ′ ἐς τὰ δεῖπνα δεδαπανηκέναι ἱστόρηται, συνεχῶς μὲν καὶ ἀπλήστως ἐμφορούμενος, συνεχῶς δὲ ἅπαντα ἀπερευγόμενός τε καὶ ἐξεμῶν. ᾧ δὴ καὶ μόνῳ διεγένετο, ἐπεὶ οἵ γε σύσσιτοι αὐτοῦ καὶ πάνυ κακῶς εἶχον. Βέβιος γοῦν Κρίσπος διὰ νόσον χρόνου τινὸς ἀπολειφθεὶς τοῦ συμποσίου μάλα στωμύλως ἔφη· εἰ μὴ ἐνενοσήκειν, ἀπολόμην ἄν. ἐς τόδε γοῦν καὶ τὸ παρὰ τῷ ἀδελφῷ δεῖπνον τοῦ Βιτελλίου ἐπίσημον γεγονὸς διαμνημονεύεται· καθ' ὅ φασι δίχα τῆς λοιπῆς πολυτελείας δισχιλίους μὲν ἰχθῦς, ἑπτακισχιλίους δὲ ὄρνις ἐπὶ τὴν θοίνην παρενεχθῆναι. ἐπῄνει δὲ καὶ τὰ Νέρωνος καὶ τὸν νεκρὸν τοῦ Νέρωνος ἐς κοῖλόν τινα καὶ ἀφανῆ τάφον κατακείμενον ἀπεσέμνυνε. πρὸς δὲ τῶν στρατηγῶν Οὐεσπασιανοῦ, μεταποιουμένου τῆς βασιλείας ἤδη, κατακτείνεται.

β 310 Βίτιννα· σάνδαλα μὲν τὰ ποδῶν θαλπτήρια ταῦτα Βίτιννα, εὐτέχνων ἐρατῶν σκυτοτόμων καμάτων.

β 311 Βιττίον· τῆς πέζης τὰ μὲν ἄκρα τὰ δεξιὰ Βιττίον εἰργάσατο. πέζα γὰρ ὕφασμα.

β 312 Βιοῖο: τῆς τοῦ τόξου νευρᾶς.

β 313 Βλάβη· καὶ Βλάβος, οὐδετέρως. τὸ ἁμάρτημα. Ἀριστοφάνης Βατράχοις.

β 314 Βλάξ: μαλακὸς, χαῦνος· ἐκλελυμένος· ἢ μωρός.

β 315 Βλάκα· αἰτιατική. τὸν εὐήθη καὶ ἀνόητον. εἴρηται δὲ ἀπὸ ἰχθύος τινὸς, ὁμοίου σιλούρῳ, ἀχρήστου δὲ οὕτως ὡς μηδὲ κύνα αὐτῷ χρῆσθαι. Πολιτείας δ′· βλακικόν τε ἡμῶν τὸ πάθος. ὡς εἰ λέγοι τις πνευμονίαν ἀπὸ τοῦ θαλαττίου ζῴου ὄντος ἀναισθήτου. οἱ δ' ἀπὸ τοῦ πρὸς τῇ Κύμῃ χωρίου τῆς Βλακείας, οὗ μνημονεύει καὶ Ἀριστοτέλης. καὶ ἐν Ἀλεξανδρείᾳ δὲ τέλος τι βλακεννόμιον, ὃ οἱ ἀστρολόγοι τελοῦσι, διὰ τὸ τοὺς μωροὺς εἰσιέναι πρὸς αὐτούς. ἐλινύοντα καὶ βλακεύοντα κλάειν ἐῶσι. καὶ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν βλάκας. ἔστι δὲ μωρός τις μὴ εἰδὼς τὰ πράγματα διακρῖναι.

β 316 Βλακεύεται καὶ Βλακεύει: μαλακίζεται. Δαμάσκιος· καὶ παροξύνων τῷ λόγῳ τοὺς ἐν ἔργῳ βλακεύοντας. οὐδεμιᾶς γοῦν ἐτίθετο κακίας ἔλαττω τὴν ῥᾳθυμίαν, ἁπασῶν δὲ σχεδὸν τὴν μεγίστην. καὶ Ξενοφῶν· εἴ τις αὐτῷ δοκοίη τῶν πρὸς τοῦτο τεταγμένων βλακεύειν, ἐκλεγόμενος τὸν ἐπιτήδειον ἔπαιεν ἂν τῇ βακτηρίᾳ.

β 317 Βλακεία: ὑπεροψία, μωρία. οἱ στράτορες τριώβολον ἐλάμβανον βλακείας χάριν.

β 318 Βλακεία: ῥᾳστώνη, ἔκλυσις, χαυνότης. οὐ γὰρ στρατηγῶν βλακείαις ἢ φιλοψυχίαις τὰ πράγματα ἐπέτρεψεν, ἀλλ' αὐτὸς ἐπὶ τὸν πόλεμον ἑαυτὸν ἀναδείξας στρατηγὸν ἐξώρμησεν.

β 319 Βλακικῶς: ἀντὶ τοῦ βραδέως. ὡς βλακικῶς διακονεῖς.

β 320 Βλάνων: ὄνομα κύριον. μόλις δὲ τῶν Καρχηδονίων ἀπὸ τῆς καταπλήξεως ἀναλεξαμένων, μόνος ὁ Βλάνων καλούμενος οἰκείαν τῆς περιστάσεως φωνὴν προέμενος εἶπεν.

β 321 Βλάπτω· αἰτιατικῇ.

β 322 Βλάστη: βλάστημα. καὶ ἡ αἰτιατικὴ τὴν βλάστην.

β 323 Βλάσφημος: ὁ εἰς θεὸν ἐξυβρίζων. Βλασφημῶ αἰτιατικῇ συντάσσεται. Ἀππιανός· οἱ δὲ ἐβλασφήμουν αὐτὸν ὡς κακῶς ἐπὶ τρισὶν ἀνδράσι τὰ πάντα θέμενον.

β 324 Βλαύτη: εἶδος ὑποδήματος. Σοφοκλῆς· σπεύδειν ἀπὸ ῥυτῆρος. τουτέστιν ἀπὸ βλαύτης· ὡς ἕκαστος ἔχει σχήματος. καὶ αὖθις· ὁ σκήπων καὶ ταῦτα τὰ βλαυτία, πότνια Κύπρι, ἄγκειται κυνικοῦ σκῦλα Ποσωχάρεος.

β 325 Βλαυτίοις: σανδαλίοις. Ἀριστοφάνης· ὅπερ πίνων ἀνὴρ πέπονθ', ὅταν χεσείῃ, τοῖς τρόποισι τοῖς σοῖσιν ὥσπερ βλαυτίοις χρήσομαι. ἐπειδὴ εἰώθασιν οἱ πίνοντες τοῖς τῶν ἄλλων ὑποδήμασι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρῆσθαι, εἰ ἐπείγοιντο πρὸς λάσανον. λάσανα δὲ οἱ χυτρόποδες, τὰ μαγειρεῖα, ἔνθα τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα.

β 326 Βλαῖσος: ὄνομα κύριον. ὑπάτω δὲ ἤστην Ἰούνιος Βλαῖσος καὶ Λεύκιος. καὶ ζήτει ἐν τῷ Ἀπίκιος Μάρκος.

β 327 Βλαισός: παραλυτικός. διαφέρει βλαισὸς καὶ ῥαιβός, ὁ μὲν ἀπὸ τῶν γονάτων διεστραμμένος τοὺς πόδας, ὁ δὲ αὐτὰς τὰς κνήμας. πολλάκις ἐν θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλὼς βλαισὸς Ἀχαρνείτης κισσὸς ἔρεψε κόμην. καὶ Βλαισοπόδης, βάτραχος.

β 328 Βλεπεδαίμων: ὁ διεστραμμένος τὰς ὄψεις καὶ οἷον ὑπὸ δαίμονος πεπληγώς.

β 329 Βλέπειν γὰρ ἄντικρυς δόξεις μ’ Ἄρη: ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει πράττειν καὶ συνάρασθαι πρὸς βοήθειαν. δόξεις με, φησίν, Ἄρεα ὁρᾶν κατορθωτικὸν καὶ πρακτικόν.

β 330 Βλέποντες: ἀντὶ τοῦ ζῶντες. οὕτως Σοφοκλῆς· οἱ δ’ αὖ γελώντων κἀπιχαιρόντων κακοῖς τοῖς τοῦδ’. ἴσως τοι, κεἰ βλέποντα μὴ ’πόθουν, θανόντ’ ἂν οἰμώξειαν ἐν χρείᾳ δορός.

β 331 Βλέπος· Ἀριστοφάνης Νεφέλαις· ἐπὶ τοῦ προσώπου ’στιν Ἀττικὴ βλέπος. ἀντὶ τοῦ κακοῦργον βλέμμα καὶ δραστικόν. οἱ γὰρ Ἀττικοὶ ἐπὶ ἀναιδείᾳ διεβάλλοντο.

β 332 Βλέποι: ἀντὶ τοῦ βλέμμα. οὕτως Ἀριστοφάνης.

β 333 Βλεῖο: εὐκτικῶς. καὶ ζήτει τὸν κανόνα ἐν τῷ ἐμπλείμην.

β 334 Βλήδας: ὄνομα Σκύθου.

β 335 Βλήτυρι: οὕτω λέγουσι καὶ σκινδαψόν. εἰσὶ δὲ παραπλήρωμα λόγων μὴ ἔχοντα λόγον. Ἰόβας δὲ τὸν σκινδαψὸν ὄργανον μουσικὸν ἀποδίδωσι, τὸ δὲ βλίτυρι χορδῆς μίμημα.

β 336 Βληχὴ καὶ Βληχήματα: φωναὶ προβάτων. καὶ Βληχώμενοι παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ· τουτέστι ποιᾷ φωνῇ χρώμενοι. βληχᾶσθαι γὰρ τὸ τὰ προβάτια ποιᾷ κεχρῆσθαι φωνῇ. καὶ αὖθις· βληχὴ τὰ τέκνα καὶ οὐδαμῶς τοῦ τρόπου.

β 337 Βληχώδης: πρόβασι τὸν νοῦν ὅμοιος. μωρὸς δὲ ποιμὴν καὶ τὰ πάντα βληχώδης πέμπειν ἔμελλεν.

β 338 Βλήχων: ἡ γλήχων. οὕτως λέγεται παρὰ Ἀττικοῖς. ἔστι δὲ εἶδος βοτάνης. καὶ τὸ ἐφήβαιον Ἀριστοφάνης οὕτως ὀνομάζει.

β 339 Βληχωνία· Ἀριστοφάνης· ἆρ’ οὖν βλαβῆναι διὰ χρόνου τί σοι δοκῶ, ὦ δέσποθ’ Ἑρμῆ, τῆς Ὀπώρας κατελάσας; οὔκ· εἴγε κυκεῶνος ἐπιπίοις βληχωνίαν. σχόλιον· καὶ γὰρ οἱ διὰ χρόνου ἐσθίοντες ὀπώραν πολλὴν βλάπτονται καὶ οἱ συνουσιάζοντες συνεχῶς. ἐπεὶ οὖν ἐδόκει ἡ Ὀπώρα καὶ πόρνη, πρὸς ἀμφότερα ἔπαιζε. διὰ τοῦ β βληχωνίαν. οἱ δὲ πολλὴν ὀπώραν ἐσθίοντες, ἐὰν βληχωνίαν πίνωσιν, οὐ βλάπτονται, διὰ τὸ ὑπὸ τοῦ ὀποῦ κατεσθίεσθαι τὴν καρδίαν. ἵνα οὖν ἡ δριμύτης ἀποστυφῇ, βλήχωνος ἐλάμβανον. καὶ Βληχωνίας, κυκεών.

β 340 Βληχρόν: ἀσθενὲς παρὰ Ὁμήρῳ καὶ Ἀλκαίῳ· Πίνδαρος δὲ ἀντὶ τοῦ ἰσχυροῦ αὐτὸ λέγει.

β 341 Βλιμάζειν: κυρίως τὸ τοῦ ὑπογαστρίου καὶ τοῦ στήθους ἅπτεσθαι· ὅπερ ἐποίουν οἱ τὰς ὄρνιθας ὠνούμενοι· οἱονεὶ θλιμάζειν. οἱ δὲ βλιμάζοντες, ἀντὶ τοῦ κακοῦντες. ἀποτίλλουσι γὰρ καὶ κατεσθίουσι. Βλιμάζειν, τὸ ταῖς χερσὶ διαθλίβειν. καὶ τὸ τὰ κηρία θλίψαι βλίσαι λέγεται. καὶ Βλιμάζων, ἀποστάζων τὸ μέλι τοῦ κηρίου. καὶ Βλιμάττομεν, ψηλαφῶμεν, ἐπιθυμοῦμεν.

β 342 Βλιτάδας οἱ παλαιοὶ τὰς εὐτελεῖς γυναῖκας.

β 343 Βλίττειν: ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων. πειράζειν. καὶ τὸ ψηλαφᾶν. καὶ τὸ ἐκπιέζειν τὰ κηρία τῶν μελισσῶν. θλίβειν. ἀλλὰ καθείρξας αὐτὸν βλίττεις. οὕτως Ἀριστοφάνης.

β 344 Βλιττομάμμας· καί σε καλοῦμεν βλιττομάμμαν. τουτέστι μωρόν. καὶ γὰρ τὸ βλίττον μωρόν ἐστι λάχανον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

β 345 Βλίτος: εἶδος βοτάνης.

β 346 Βλίτυρι: χορδῆς μίμημα.

β 347 Βλοσυρός: ἀξιωματικὸς, καταπληκτικὸς, φοβερὸς, σεμνός.

β 348 Βλωθρή: χλωρὰ, ἁπαλὴ, εὐαξής. οὐκέτι συρίγγων νόμιον μέλος ἀγχόθι ταύτας ἁρμόσῃ βλωθρᾶς, Θηρίμαχε, πλατάνου.

β 349 Βλύζει· αἰτιατικῇ.

β 350 Βοανεργές: υἱοὶ βροντῆς.

β 351 Λύσις ὀνείρου Νικηφόρου πατριάρχου ἰαμβικοί. Βόας θεωρεῖν εἰς κακὴν πρᾶξιν φέρει. Νεκροὶ βόες δηλοῦσι τοὺς λιμοῦ χρόνους.

β 352 Βοάσομαι τὴν ὑπέρτατον βοάν· Ἀριστοφάνης. εἰ οὕτω, φησὶ Στρεψιάδης, ὁ παῖς ἐκπεπαίδευται, μέγιστον ὑπὸ τῆς χαρᾶς βοήσομαι.

β 353 Βόεια: μεγάλα. ῥήματ’ ἂν βόεια δώδεκ’ εἶπεν· Ἀριστοφάνης Βατράχοις.

β 354 Βοείας: βύρσας.

β 355 Βοαδρόμος: ὁ βοηθός. ὧδ’ ὑπὲρ Ἀμβρακίας ὁ βοαδρόμος ἀσπίδ’ ἀείρας τεθνάμεν ἢ φεύγειν ἤθελεν.

β 356 Βοηδρομεῖν: μετὰ σπουδῆς παραγίνεσθαι· Κᾶρες δὲ ἀντὶ τοῦ βοηθεῖν. καὶ βοηδρομούντων ἐπὶ τοῦτο τῶν δημοτῶν, ἄλλος τις παρὼν βάρβαρος ἔτρωσε τὸν ἕτερον ἐπιόντα, καὶ διεκέκριτο οὐδέν.

β 357 Βοηδρομία· βοηδρομεῖν μὲν τὸ βοηθεῖν ὠνομάζετο, τουτέστιν ἐπὶ μάχην δραμεῖν. ἔστι δὲ ἡ Βοηδρομία ἑορτή τις Ἀθήνησι καλουμένη, καθ’ ἣν ἡμέραν ἐβοήθησεν ὁ Ξούθου σπουδῇ πολλῇ πολεμουμένοις Ἀθηναίοις ὑπὸ Εὐμόλπου τοῦ Ποσειδῶνος. Ἐρεχθεὺς δὲ τότε Ἀθηναίων ἐβασίλευεν.

β 358 Βοήθοον: ἀντὶ τοῦ ἐν μάχῃ ἔτρεχον. ἀλλ’ οὐχὶ τὸ ἐβοήθουν, τουτέστι συνεμάχουν. καὶ Βοηθεῖ· δοτικῇ. ἀντὶ τοῦ μάχεται. ἐσμὸς γυναικῶν οὑτοσὶ θύρασι βοηθεῖ.

β 359 Βοηθῶ· δοτικῇ. καὶ Βοηθοίης, εὐκτικόν.

β 360 Βόθυνος: εἶδος ἀστέρος. ζήτει ἐν τῷ κομήτης.

β 361 Βολβός· Ἀριστοφάνης· καταφαγὼν βολβῶν χύτραν. ἐπὶ τῶν λαγνιστάτων. ἐπιτήδειοι γὰρ εἰς συνουσίαν οἱ βολβοί. ἔστι δὲ εἶδος ὀσπρίου, ἢ καὶ κρομμύου.

β 362 Βολεῶνας: οὕτως οἱ Ἀττικοὶ καλοῦσιν, οὗ ἡ κόπρος τῶν βοῶν καὶ τῶν ὑποζυγίων καὶ τῶν προβάτων βάλλεται.

β 363 Βοήν: μάχην, καὶ μεγάλην φωνήν.

β 364 Βόθυνος: τόπος τις ἰδίως οὕτω καλούμενος ἐν τῇ ἱερᾷ ὁδῷ, οὗ μνήμην Ἰσαῖος καὶ Καλλισθένης ποιεῖται.

β 365 Βολίς: βέλος, ἀκόντιον, λογχάριον. καὶ Βόλος, τὸ βαλλόμενον εἰς ἄγραν ἰχθύων. ἐν Ἐπιγράμμασι· Πίγρης μὲν πτανοῖσιν ἐφεὶς βόλον, ἐν δ’ ἁλίοισι Κλείτωρος, ἐν θηρσὶν Δᾶμις ἐρημονόμοις. καὶ αὖθις· εὐστιβὲς αἰθυίαις ἰχθυβόλοισι λέπας. καὶ Βόλος, ἐν Ἐπιγράμμασι· καὶ φελλὸν κρυφίων σῆμα λαχόντα βόλων.

β 366 Βόλιτος: Ἀττικοὶ οὕτω λέγουσι χωρὶς τοῦ β, ὅπερ ἡμεῖς βόλβιτον. Ἀριστοφάνης· ἐτρεφέτην ἐν πᾶσι βολίτοις. τουτέστιν ἐν πάσῃ τρυφῇ καὶ πᾶσιν ἀγαθοῖς. βολίτοις δέ, ὅτι περὶ βοῶν ὁ λόγος. οὕτω δὲ λέγονται οἱ σπέλεθοι τῶν βοῶν.

β 367

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βολίτου δίκην: πρὸς τοὺς ἐπὶ μικροῖς δίκας ὑπέχοντας. ὁ γὰρ Σόλωνος νόμος καὶ τοὺς βόλιτον ὑφελομένους κολάζει.

β 368 Βόλος: ἡ δρόσος.

β 369 Βόλος ὁ κυβευτικὸς ἀγύρτης λέγεται. ζήτει ἐν τῷ ἀγύρτης.

β 370 Βομβάζειν: φθέγμα ἐπὶ τῷ διασύρειν καὶ τωθάζειν λεγόμενον.

β 371 Βομβάλβιοι: ἀντὶ τοῦ αὐληταί. τὸ δὲ βομβύλιος ἐν προσθέσει τοῦ α εἶπε βομβαύλιος, παίζων παρὰ τὸν αὐλόν.

β 372 Βομβεῖ καὶ Περιβομβεῖ. Σιμοκάτης· ὡς δὲ τὸ Περσικὸν περιεβόμβει τρανέστερον, παρεδριμύττετο τὸ πολέμιον. Βόμβος δὲ ὁ ἦχος τῶν μελισσῶν. βόμβος, ψόφος τις.

β 373 Βόμβησεν: ἐψόφησέ πως.

β 374 Βομβοῦσιν αἱ μέλισσαι, ὅταν τις προσίῃ μύρου ὄζων. Πολιτείας θʹ. καὶ οἱ περὶ τὴν Διονυσίου βομβοῦντες τράπεζαν καὶ περὶ τὴν Ἀλεξάνδρου μεμηνότες δαῖτα καὶ χεῖρα, καὶ ἄλλοι δὲ καὶ ἄλλοι ὧν εἶπον, Ὀρέστης, Μαρψίας, Καλλίου τοῦ Ἀθηναίου κόλακες σὺν ἑτέροις, καὶ ὅδε παρὰ Ῥωμαίοις Ἄλβιος ὄνομα.

β 375 Βομβυλιός: ζῷον, ἢ τὸ βησίον λεγόμενον. καὶ εἶδος μελίσσης, παρὰ τὸ βομβεῖν. ἐκ πηλοῦ τὰ κηρία πλαττούσης. Βομβυλιός ζῷόν ἐστι παραπλήσιον μελίττῃ, ὠνομασμένον ἀπὸ τοῦ βόμβου, ὃν ἐκεῖνο βομβεῖ.

β 376 Βομβυλιός: εἶδος μελίσσης. καὶ εἴρηται παρὰ τὸ βομβεῖν. καὶ παροιμία· Βομβυλιὸς ἄνθρωπος, ἐπὶ τοῦ ἀκάρπου, παρόσον καὶ βομβυλιός ἐστι μελίσσης εἶδος, ἐκ πηλοῦ πλαττούσης τὰ κηρία.

β 377 Βομβύλον: σκεῦος στρογγυλοειδές.

β 378 Βόμβυξ: βοοβοσκός.

β 379 Βονιφάτιος.

β 380 Βοοθύτης: ὁ τοὺς βόας βάλλων πελέκει.

β 381 Βοὸς κέρας· Ὅμηρος· ἤτε κατ’ ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα. κατεσκεύαζον γὰρ σύριγγα ἐκ κέρατος βοείου, ἣν περιετίθεσαν τῇ ὁρμιᾷ, ἵνα μὴ οἱ ἰχθύες ἀποτρώγωσι τὸ λίνον.

β 382 Βοοσφόριον.

β 383 Βοῶμεν· δοτικῇ. ὀμόσωμεν. καὶ Βοώμενον, ἐπικαλούμενον.

β 384 Βοώνης: οὗτος παρὰ τῆς πόλεως ᾑρεῖτο, ἵνα βοῦς αὐτῇ πρίηται πρὸς τὰς θυσίας. ἦν δὲ λαμπρὸν τὸ βοώνην γενέσθαι, ἐπειδὴ στρατηγούς φασι βοώνας μάλιστα χειροτονεῖσθαι.

β 385 Βοῶπις: μεγαλόφθαλμος. εὐόφθαλμος.

β 386 Βοώτης: ἄστρον πλησίον τῶν Ἄρκτων. ὁ δ’ αὐτὸς καὶ Ἀρκτοφύλαξ καλεῖται. ζήτει ἐν τῷ ἄρκτος.

β 387 Βοώτης· αἱ μέγισται ἀρχαὶ παρὰ Ἀθηναίοις ἀπὸ τούτων ἐχειροτονοῦντο.

β 388 Βοωτίαις· καί τινων βοωτίαις ἐφεστώτων, τῶν δὲ ἄλλων τῶν περὶ βασιλέα τοῖς ἐρύμασι νενεμημένων. Κρίτων ἐν τοῖς Γετικοῖς.

β 389 Βοπόρους: παρὰ Ἡροδότῳ ὀβελοὺς μεγάλους.

β 390 Βορᾶς: βρώσεως ἢ τροφῆς. Βορρᾶς δὲ ὁ ἄνεμος, καὶ κλίνεται Βορρᾶ· ἡ εὐθεῖα τῶν πληθυντικῶν Βορραῖ. σκληροὶ Βορραῖ ἐπιπνεύσαντες. καὶ Βορέας, Βορέου. καὶ Βορραίῃ. λαίλαπι Βορραίῃ κλασθὲν ἐπέλεκε. ὅτι τὸν Βορέαν Ἀθηναίων σύμμαχον εἶναι νομίζουσι· καὶ ζήτει τὸν τόπον, ἔνθα ὁ στόλος Ξέρξου ἐδυστύχησεν, ἐν τῷ ἀφέται.

β 391 Βορβόροπιν: κῆπον. σημαίνει δὲ καὶ τὸ μόριον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

β 392 Βορβοροτάραξι: Ἀριστοφάνης. ἀντὶ τοῦ ταραχωδέστατε· ταράττων ἡμῶν τὴν πόλιν καὶ θορυβῶν ὥσπερ βόρβορον· θορύβου πληρώσας τὴν πόλιν καὶ βορβόρου. καὶ παροιμία· Βορβόρῳ ὕδωρ λαμπρὸν μιαίνων οὔποθ’ εὑρήσεις ποτόν· ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων αἰσχίστοις. λύσις ὀνείρων· ἔκδηλός ἐστι βόρβορος ψυχῆς ῥύπος. ἰλὺν πεπλευκὼς τοῦ νοὸς νόει βλάβην.

β 393 Βορβορυγμός: ὁ ἦχος τοῦ ὕδατος ἐπιφερόμενος. ἡ φάρυγξ ἐκελάρυζε, καὶ πολὺς ἐν τῷ στόματι ἦν βορβορυγμός.

β 394 Βορβορυγμός: ἦχος ἐκ τοῦ στόματος. σύνθημα δέ ἐστι ταῖς καμήλοις τὸ καθέζεσθαι ὁ τοιοῦτος ἦχος.

β 395 Βορραῖ· ζήτει ὀπίσω ἐν τῷ Βορρᾶς.

β 396 Βορίανθος: ὅτι βάρβαροί τινες κτείνουσι Βορίανθον τυραννήσαντα, ταύτῃ προσάγεσθαι τὸν τῶν Ῥωμαίων στρατηγὸν ἡγούμενοι ἐς εὔνοιαν. καὶ δὴ ἀφικόμενοι τῶν τοῦ Βοριάνθου αὐθεντῶν τινες ἆθλα τῶν περὶ τὸν ἄνδρα πεπραγμένων ἠξίουν παρὰ Σκιπίωνος κομίζεσθαι. ὁ δὲ Σκιπίων ἀποκρίνεται, μηδαμῶς εἶναι Ῥωμαίοις ἔννομον ἐν ἐπαίνῳ ποιεῖσθαι τὰς κατὰ τῶν στρατηγῶν τοῖς ἀρχομένοις ἐπιχειρουμένας ἐπιβουλάς.

β 397 Βορόν: βρωτικόν. ὀξυτόνως. Ἀριστοφάνης· μιαρὸν τὸ χρῆμα, κάκοσμον καὶ βορόν. καὶ ὕδωρ βορόν, ἀγρυπνίη βορόν· ζήτει ἐν τῷ ὕδωρ βορόν.

β 398 Βόσιν: τροφήν.

β 399 Βοσκήσομεν: θρέψομεν. καὶ Βόσκουσαν, τρέφουσαν. Σοφοκλῆς περὶ Οἰδίποδος· ἀλλ’ εἰ τὰ θνητῶν μὴ καταισχύνεσθ’ ἔτι γένεθλα, τὴν γοῦν πάντα βόσκουσαν φλόγα αἰδεῖσθ’ ἄνακτος ἡλίου, τοιόνδ’ ἄγος ἀκάλυπτον οὕτω δείκνυται, τὸ μήτε γῆ μήτ’ ὄμβρος ἱερὸς μήτε φῶς προσδέξεται.

β 400 Βοσόρ: τὸ ἱμάτιον τὸ ἀπὸ κόκκου βεβαμμένον κατὰ Ἑβραΐδα διάλεκτον.

β 401 Βόσπορος, πόλις περὶ τὸν Ἑλλήσποντον, ἣν Βωχάνος ὁ Τοῦρκος ἐπὶ Ἰουστινιανοῦ βασιλέως ἐπόρθησε.

β 402 Βόσποροι β′· ὁ μὲν κατὰ τὴν Προποντίδα, ὁ δὲ Θρᾳκικός, ὥς φησι Φιλέας.

β 403 Βόστρυχος: πλέγμα τριχῶν γυναικείων. ἐν Ἐπιγράμμασιν· εἰπὲ τίνι πλέξεις ἔτι βόστρυχον; Ἀριστοφάνης· πάνυ γάρ τις ἔρως με δονεῖ τῶνδε βοστρύχων. ἐναλείφειν τὰς τρίχας καὶ διατιθέναι κατὰ βοστρύχους, εὐθὺς ἅπασι πρόχειρον, ὅτι ἄνθρωπος οὗτος τῇ Χίων θεῷ καὶ τοῖς Ἰθυφάλλοις ὠργίακεν.

β 404 Βοτά: βοσκήματα. καὶ Βοτάνη, ὁ χόρτος. Καδμείων τινὲς ἱπποβοσκοὶ περὶ βοτάνης πρός τινας τῶν Μινύων ἤριζον. τοὺς πλησίον ὑπερβάλλοντες λόφους μεστὸν εὑρήσουσι τὸ πεδίον παντοίων βοτῶν.

β 405 Βοτηρικὰ κύπελλα· ἐν Ἐπιγράμμασι. καὶ Βοτῆρες, ποιμένες.

β 406 Βοτὴρ καὶ Δοτήρ, Δώτωρ δὲ καὶ Βώτωρ.

β 407 Βοτός: τροφὴ, ἢ βοσκή. καὶ Βροτός, ὁ ἄνθρωπος.

β 408 Βοτρυδόν: ἐπαλλήλας· ἡ ἑτέρα τῆς ἑτέρας ἐχομένη, ὡς ῥᾶγες τῶν βοτρύων.

β 409 Βότρυν: τὴν ὀπώραν· οὐχὶ τὴν σταφυλὴν μόνην. καὶ μήποτε τὴν βοτρυΐαν ὀπώραν. λύσις ὀνείρου· βότρυς κατέσθειν ὀμβρικὴν δηλοῖ λύσιν.

β 410 Βοτρυόδωρος· ἡ εἰρήνη. ἐπεὶ αἱ ἄμπελοι ἐν εἰρήνῃ φύονται. Ἀριστοφάνης· ὦ πότνια βοτρυόδωρε. καὶ παροιμία· Βότρυς πρὸς βότρυν πεπαίνεται, ἐπὶ τῶν ἐξισοῦσθαι φιλονεικούντων.

β 411

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βοτρυοσταγῆ ἔρνη. ὑπερβεβηκέναι δὲ τοῖς ἐπιτηδεύμασι τὰ Βότρυος ὑπομνήματα καὶ τὰ Φιλαινίδος καὶ τῶν ἄλλων ἀναισχυντότερα γράφων.

β 412 Βούβοτον Ὀρβηλοῖο παρὰ σφυρόν. καὶ Βούβοτος, ἡ πολλὴν τροφὴν ἔχουσα.

β 413 Βουβωνιῶ: φλεγμαίνω τοὺς βουβῶνας. ἐγὼ μὲν οὖν εἰς τὸ βαλανεῖον βούλομαι· λείπει ἀπελθεῖν· βουβωνιῶ γὰρ τὼ νεφρὼ ὑπὸ τῶν κόπων.

β 414 Βουγάϊος· τὸ βου κατ’ ἐπίτασιν· ὡς ἐν τῷ βουπείνα, ἡ μεγάλη πείνα, καὶ βούγλωσσοι.

β 415 Βουδόρῳ νόμῳ: ἐπὶ τῶν ἀξίων οὕτως δέρεσθαι ὡς οἱ βόες.

β 416 Βουζύγης: ὁ Ἡρακλῆς.

β 417 Βοῦθος περιφοιτᾷ: ἐπὶ τῶν ἀσυνέτων καὶ παχυφρόνων εἴρηται. καὶ Βουθοίνας, ὁ Ἡρακλῆς. Ὕλλου γὰρ τοῦ υἱοῦ αὐτοῦ πεινάσαντος, ἕνα τῶν ἀροτήρων βοῶν Θεοδάμαντος θοινήσας ἔφαγεν.

β 418 Βουθυτεῖ· δοτικῇ. Ἀριστοφάνης Πλούτῳ. ὁ δεσπότης ἔνδον βουθυτεῖ. καταχρηστικῶς εἴρηται ἡ βουθυσία, δηλοῦσα τόν τε ὄγκον τοῦ μεγέθους καὶ τὸ ἐντελὲς τῆς θυσίας, ἣν ἑκατόμβην καλοῦσι καὶ τριττύν.

β 419 Ὅτι Βουκελλάριοι Ἑλληνογαλάται ὀνομάζονται καὶ ἡ τῶν Βουκελλαρίων χώρα Γαλογραικία.

β 420 Βουκολήσας: ἀπατήσας. καὶ Βουκόλημα, τὸ θέλγητρον. ὅπως ἔχῃ τι βουκόλημα τῆς λύπης, ἐνέθηκε τοῖς τοίχοις ποικίλας γραφὰς ζῴων.

β 421 Βουκάρας: ποταμός. Πολύβιος· κατὰ τὴν εἰς θάλασσαν ἐκβολὴν τοῦ Βουκάρα ποταμοῦ.

β 422 Βουκόρυζαν: τὴν μεγάλην κόρυζαν. καὶ Κορυζᾶν, τὸν ἰσχυρῶς κορύζοντα. Μένανδρος.

β 423 Βούλγαροι· ὅτι οἱ Βούλγαροι ἠρέσθησαν εἰς τὴν στολὴν τῶν Ἀβάρων καὶ μετημφιάσαντο αὐτὴν καὶ ἕως νῦν περιβέβληνται. ὅτι ἐπὶ Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου ἤκμαζεν ὁ Τέρβελις, ὁ τῶν Βουλγάρων ἀρχηγός· καὶ ὁ αὐτὸς Ἰουστινιανὸς καὶ Κωνσταντῖνος, ὁ Ἡρακλείου υἱὸς, ὑπόφοροι τούτῳ ἦσαν. τὴν γὰρ ἀσπίδα, ἣν εἶχεν ἐν πολέμῳ, ὑπτίαν ἔθηκε καὶ τὴν ἑαυτοῦ μάστιγα, ᾗ ἐχρῆτο ἐπὶ τοῦ ἵππου, καὶ ἕως οὗ ἐσκέπασεν ἀμφότερα, χρήματα ἐνετίθει. καὶ τὸ δόρυ ἐν τῇ γῇ παρεκτείνας μέχρι τῶν περάτων καὶ ἐς ὕψος πολὺ σηρικὴν ἐσθῆτα ἐτίθει, καὶ κιβώτια πλήσας χρυσοῦ καὶ ἀργύρου τοῖς στρατιώταις ἐδίδου, τὴν μὲν δεξιὰν χρυσίου πληρῶν, τὴν δὲ λαιὰν ἀργυρίου. ὅτι τοὺς Ἀβάρις κατακράτος ἄρδην ἠφάνισαν οἱ αὐτοὶ Βούλγαροι. ἠρώτησε δὲ Κρὲμ τοὺς τῶν Ἀβάρων αἰχμαλώτους· πόθεν συνίετε ὅτι ἀπώλετο ὁ ἄρχων ὑμῶν καὶ τὸ ἔθνος ὅλον; καὶ ἀπεκρίθησαν, ὅτι ἐπλήθυναν αἱ κατ’ ἀλλήλων κατηγορίαι καὶ ἀπώλεσαν τοὺς ἀνδρειοτέρους καὶ φρονιμωτέρους, εἶτα οἱ ἄδικοι καὶ οἱ κλέπται κοινωνοὶ τοῖς κριταῖς ἐγένοντο, εἶτα ἡ μέθη· πληθυνθέντος γὰρ τοῦ οἴνου πάντες ἐγένοντο μέθυσοι· εἶτα ἡ δωροδοκία, εἶτα ἡ πραγματεία· πάντες γὰρ ἐγένοντο ἔμποροι καὶ ἀλλήλους δολιούμενοι. καὶ ἡ ἀπώλεια ἡμῶν ἦλθεν ἐκ τούτων. ὁ δὲ ταῦτα ἀκούσας συνεκαλέσατο τοὺς Βουλγάρους πάντας καὶ διετάξατο νομοθετῶν· ἐάν τις κατηγορήσῃ τινός, μὴ ἀκουέσθω πρότερον, ἢ δεθεὶς ἐξετασθῇ· καὶ εἴγε συκοφαντῶν εὑρεθήσεται καὶ ψευδόμενος, ἀναιρείσθω. μηδὲ ἐξέστω τινὶ κλέπτοντι μεταδοῦναι τροφῆς· ἢ τάχα τοῦτο τολμῶν τις δημευέσθω. καὶ τοῦ κλέπτου μὲν συγκλᾶν τὰ σκέλη, τοὺς δὲ ἀμπελῶνας πάντας ἐκριζῶσαι ἐκέλευσε· τῷ δὲ αἰτοῦντι παντὶ μὴ ἁπλῶς διδόναι, ἀλλὰ τὴν αὐτάρκειαν αὐτοῦ, ὡς μὴ καὶ αὖθις αὐτὸν δέεσθαι· ἢ τάχα δημευέσθω ὁ μὴ οὕτω ποιῶν. τοὺς δὲ Ἀβάρις πάντας, ὡς λέλεκται, ἄρδην ἠφάνισαν.

β 424 Βουλαία· Δείναρχος· μαρτύρομαι τὴν Ἑστίαν τὴν Βουλαίαν. οἷον τὴν ἐν τῇ βουλῇ ἱδρυμένην.

β 425 Βούλευμα· τὸ ἴδιον. Βούλημα δὲ τὸ δημόσιον. Ἀριστοφάνης Πλούτῳ· τοῦτ’ οὖν ἡμεῖς ἐπιθυμοῦντες, μόλις εὕρομεν ὥστε γενέσθαι βούλημα καλὸν καὶ γενναῖον καὶ χρήσιμον εἰς ἅπαν ἔργον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

β 426 Βουλεύομαί σοι τάδε.

β 427 Βουλεύοντι: ἀντὶ τοῦ συμβουλεύοντι. Θουκυδίδης.

β 428 Βουλεύσας ἀντὶ τοῦ βουληθείς. βουλεύσας δὲ, ὅπως τὴν βασιλέως διάνοιαν πολλῷ ἔτι μᾶλλον ἐξελεῖν δύνηται.

β 429 Βουλεύσεως: ἐγκλήματός ἐστιν ὄνομα, ἐπὶ δυοῖν πραγμάτοιν ταττόμενον. τὸ μὲν γάρ ἐστιν, ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθεὶς ἐάν τε καὶ μή· τὸ δὲ ἕτερον, ὅταν τις ἐγγεγραμμένος ὡς ὀφείλων τῷ δημοσίῳ δικάζηταί τινι ὡς οὐ δικαίως αὐτὸν γεγραφότι. καὶ Ἰσαῖος μὲν ἐπὶ Παλλαδίῳ λέγει εἰσάγεσθαι τῶν δύο τὸ πρῶτον ἔγκλημα· ὡσαύτως καὶ Ἀριστοτέλης, Δείναρχος δὲ ἐν Ἀρείῳ πάγῳ. περὶ δὲ τοῦ ἑτέρου ἐγκλήματος Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος πρώτῳ λέγει. ὁ μέντοι Ὑπερίδης ἰδίως τὸ τῆς βουλεύσεως ὄνομα ἐπὶ ἐνέδρας καὶ ἐπιβουλῆς τῆς εἰς χρήματα λαμβάνει.

β 430 Βουλευτικός: τόπος οὗτος τοῦ θεάτρου ἀνειμένος τοῖς βουλευταῖς, ὡς καὶ τοῖς ἐφήβοις ἐφηβικός. Ἀρριανός· οἱ γράψαντες οὐ μόνον τὰ ἔργα Τραϊανοῦ, ἀλλὰ καὶ τὰ βουλεύματα. καὶ αὖθις· τοῦτο δὲ γέγονε βουλήσει κρείττονι καὶ ἀνθρωπίνῃ γνώμῃ οὐδαμῶς συμβλητῇ.

β 431 Βουλεία: τὸ χρηματίζοντά τινα τῆς βουλῆς πράττειν, ἃ τοῖς βουλευταῖς προσήκει. οὕτω Δείναρχος καὶ Ἀριστοφάνης. Βουλείαν τὸ βουλεύειν καὶ οἱ δικανικοὶ καλοῦσι συνήθως καὶ Ἀριστοφάνης· φησὶ γάρ· τίς βουλευτής ἐστι, παραδοὺς ἑτέρῳ τὴν βουλείαν; τὸ βουλεῦσαι βουλείαν ἔλεγον οἱ παλαιοί.

β 432 Βούλει διαμάχεσθαι Γηρυόνι τετραπτίλῳ: τουτέστι τρικεφάλῳ. τρεῖς γὰρ λόφους εἶχεν ἐν τῇ περικεφαλαίᾳ καὶ πολὺν ἀγῶνα παρέσχε τῷ Ἡρακλεῖ.

β 433 Βουλή: τάξις παρὰ Ῥωμαίοις. Ἀντώνιος Σατορνῖνος ἐπίρρητος καὶ βδελυρὸς παρὰ Οὐεσπεσιανοῦ ἐς τὴν βουλὴν ἐνεγράφη, Οὐεσπεσιανοῦ σοφισαμένου γελοιότατα τοῦτο· ἀξιώσει γὰρ αὐτὸν περιέβαλε κακίᾳ δοὺς ἀκερδὲς μὲν, σεμνὸν δὲ ὅμως τόδε ἆθλον.

β 434 Βουλὴ ἁγίων: τῶν ἁγίων ὁ σύλλογος.

β 435 Βουλής, βουλῆντος κλίνεται παρὰ Θουκυδίδῃ. σημαίνει δὲ τὸν βουλευτήν.

β 436 Βουλήσεται κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον ἢ κρῖναι κακῶς: ὡς ἐπὶ κατάρας· ἐπεὶ ὡς λῃστευομένη διεβάλλετο ἡ Αἴγυπτος. ἢ βούλεται ὅτι πορρωτάτω εἶναι, ὅπου αὐτὸν οὐδὲν βλάψει ὑετός· ἐπεὶ ἐν Αἰγύπτῳ δοκεῖ μὴ ὕειν. ὡς Ἡρόδοτος· ὕσθησαν γὰρ τότε Θῆβαι, οὐδαμὰ πρότερον ὑσθεῖσαι.

β 437 Βούλησις· ὅτι πρακτικαὶ δυνάμεις εἰσὶ τῆς ψυχῆς βούλησις καὶ προαίρεσις. καὶ ἡ μὲν βούλησις αὐτῆς καθ’ ἑαυτήν ἐστι τῆς λογικῆς ψυχῆς, ἡ δὲ προαίρεσις τῆς συμπεπλεγμένης τῇ ἀλογίᾳ. ὅτε μὲν γάρ ἐστιν ἔξω τῆς γενέσεως ἡ ψυχὴ, κατὰ βούλησιν μόνην ἐνεργεῖ· ἐν μόνῳ γάρ ἐστι τῷ ἀγαθῷ· ὅταν δὲ γένηται ἐν τῇ γενέσει, ἐπειδὴ συμπλέκονται αὐτῇ αἱ ἄλογοι δυνάμεις, τότε τῇ ἐπιπλοκῇ τῆς ἀλόγου ἴσχει τὴν προαίρεσιν, διότι ποτὲ μὲν πρὸ τῆς ἀλογίας, ποτὲ δὲ πρὸ τοῦ λόγου γίνεται, καὶ αἱρεῖται τόδε πρὸ τοῦδε. αὗται ἄλογοι τῆς ψυχῆς δυνάμεις.

β 438 Βουληφόρος: πρόβουλος, ἀρχίβουλος.

β 439 Βουλιμιᾷ: λιμώττει, πεινῇ λίαν. ἀπὸ τοῦ βου ἐπιρρήματος, ὅπερ ἐπιτάσεώς ἐστι δηλωτικόν· ὡς καὶ ἐν τῷ βούπεινα, ἡ μεγάλη πεῖνα· καὶ βουγάϊος καὶ βούγλωσσοι. τινὲς δὲ εἶδος νόσου φασὶν, ἐν ᾗ πολλὰ ἐσθίοντες οὐ πληροῦνται.

β 440 Βουλιμιᾶν: τὸ παρ’ ἡμῖν. Ξενοφῶν δὲ βουλιμιᾶν λέγει τὸ τὸν στόμαχον ἐπιδάκνεσθαι ὑπὸ λιμοῦ. ὁ δὲ παριὼν ἐπὶ τὰ ὑποζύγια, εἴ τί που ὁρῴη βρωτὸν, ἐδίδου τοῖς βουλιμιῶσι. συμπίπτει τε τῆς βουλιμιάσεως πάθος, χιόνος οὔσης, πονοῦσι καὶ κτήνεσι καὶ ἀνθρώποις, εἴτε τοῦ θερμοῦ διὰ περίψυξιν καὶ πύκνωσιν, ὅταν ἐντὸς ἅπαν καθειρχθῇ, τὴν τροφὴν ἀθρόως ἀναλίσκοντος,

εἴτε δριμεῖα καὶ λεπτὴ τῆς χιόνος διαδυομένης ἰοῦσα πνοὴ τέμνει τὸ σῶμα καὶ διαφθείρει τὸ θερμὸν ἔξω αὖθις διαδιδόμενον.

β 441 Βούλιμος· ἀρσενικῶς. ἡ ἐπιτεταμένη λιμός. ἐπὶ δὲ τῆς ὁδοῦ πολλοὶ ἔπεσον ὑπὸ τοῦ βουλίμου καὶ χεῖρας καὶ πόδας ἀπεκαύθησαν.

β 442 Βοῦλις καὶ Σπέρχις, Ἀθηναῖοι, οἳ αὐθαίρετοι ἐς Πέρσας ἀνῆλθον δώσοντες δίκας ὑπὲρ τῶν κηρύκων Ξέρξου.

β 443 Βουλομένῳ: γλιχομένῳ, ἐπιθυμοῦντι. ὁ δὲ ἔφη θαυμάζων, ἐθελήσεις τί μοι μαντεύσασθαι; πάνυ γε, ἔφην, εἴ σοι βουλομένῳ ἐστίν. Ἀριστοφάνης· βούλομαι δ’, ἄναξ, καλῶς δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς.

β 444 Βουλυτός: ἡ δειλινὴ ὀψία, ὅτε οἱ βόες ἀπολύονται τῶν ἔργων. Ἀρριανός· γίνεται μάχη καρτερὰ ἔστε ἐπὶ βουλυτὸν ἀγχώμαλος. καὶ αὖθις Αἰλιανός· καὶ ὁ μὲν ἔδρασε τὸ προσταχθέν· ὁ δὲ ὄρνις πρὸ βουλυτοῦ ἐπ’ ἀμφοῖν βαδίζων καὶ τὼ πτέρυγε κρούων καὶ βαίνων μακρὰ καὶ αἴρων τὸν τράχηλον καὶ τὸν λόφον ἐπισείων, οἷον ὁπλίτης γαῦρος, τὴν ἐς τὰ ἄλογα προμήθειαν ἀπεδείκνυτο.

β 445 Βουμολγός: ὁ τὰς βοῦς ἀμέλγων. κέρας βουμολγὸς ταύρου κλάσεν ἀτιμαγέλου.

β 446 Βοῦν ἐν γνάθοις φέρει: ἐπὶ τῶν πολυφάγων.

β 447 Βουνιτῇσι: τοῖς βουκόλοις, τοῖς βοηλάταις.

β 448 Βούνομοι ἐπιστροφαί: ὑπὸ βοῶν ... ἤγουν κατανεμόμεναι.

β 449 Βουνόμον: τὴν βοῶν θρεπτικήν. βουνόμον ἔχων ἀκτάν.

β 450 Βουνός· λύσις ὀνείρου. ὄρει προσέρπειν πραγμάτων δηλοῖ βίαν.

β 451 Βουολοῦσκοι· ὅτι Βουολοῦσκοι πόλεμον κατὰ Ῥωμαίων ἐξήγειραν καὶ πολλοῖς ζημιοῦνται σώμασι καὶ πόλεις ἐπιφανεστάτας τοῦ σφετέρου γένους ἀποβάλλουσι, Μαρκίου νέου παρὰ Ῥωμαίοις ἐπιφανοῦς ὠσαμένου ἐς μέσους τοὺς πολεμίους, συνεισπεσόντος δὲ πυλῶν ἐντὸς τοῖς φεύγουσι καὶ ἀναπετάσαντος τοῖς οἰκείοις τὴν εἴσοδον. ἐφ’ οἷς πολλοῖς μὲν χρήμασι, πολλοῖς δὲ σώμασιν αἰχμαλώτοις πρὸς τοῦ μονάρχου τιμώμενος τὰ μὲν ἄλλα διωθήσατο, ἠρκέσθη δὲ στεφάνῳ τε ἀριστείῳ καὶ ἵππῳ πολεμιστηρίῳ· καὶ τῶν αἰχμαλώτων ἕνα τὸν αὑτοῦ φίλον αἰτήσας ἀφῆκεν ἐλεύθερον.

β 452 Βούπαλος: ὄνος. Ἀριστοφάνης· εἰ νὴ Δία τις τὰς γνάθους τούτων δὶς ἢ τρὶς ἔκοψεν ὥσπερ βουπάλου, φωνὴν ἂν οὐκ εἶχον. παρὰ τῷ Ἱππώνακτι· λάβετέ μου θοιμάτιον, κόψω βουπάλου τὸν ὀφθαλμόν.

β 453 Βούπαις: ὁ νέος, ἐφῆλιξ, βουκόλος. καὶ αἱ μέλισσαι, ὅτι βοηγενεῖς εἰσιν. αἰεί τοι βούπαισι περιστάσοιτο μελίσσαις τύμβος, Ὑμηττείῳ λειβόμενος μέλιτι. ἵπποι γὰρ σφηκῶν γένεσις, ταῦροι δὲ μελισσῶν.

β 454 Βούπεινα: ἡ μεγάλη πείνα.

β 455 Βουπλήξ: πέλεκυς, μάστιξ, βούκεντρον. καὶ αὖθις· καὶ κέντρ’ ὀπισθονυγῆ καὶ βούστροφα δεσμὰ τενόντων.

β 456 Βουργαών: ὄρος περὶ τὴν ἑσπέραν, ἔνθα Βελισάριος διαφόρους πολέμους διήνεγκεν.

β 457 Βοῦς ἕβδομος: ἐπὶ τῶν ἀναισθήτων. οἱ γὰρ πένητες ἔμψυχον μὴ ἔχοντες θῦσαι ἔπλαττον ἐξ ἀλεύρου. θυομένων δὲ τῶν ϛ′ ἐμψύχων, προβάτου, ὑὸς, αἰγὸς, βοὸς, ὄρνιθος, χηνὸς, ἐθύετο ἕβδομος ὁ ἐξ ἀλεύρου· καὶ διὰ τὸ εἶναι αὐτὸν ἄψυχον, ἐξεδόθη εἰς παροιμίαν. ἐπίγραμμα εἰς βοῦν καὶ τράγον ἐπὶ πίνακος ἀργυροῦ ἐγκεκολαμμένους· πῶς βοῦς ὑπάρχων, αὔλακας γῆς οὐ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τέμνεις, ἀλλ’ ὡς πάροινος ἀγρότης ἀνεκλίθης; πῶς οὐχὶ καὶ σὺ πρὸς νομὰς ἀποτρέχεις, ἀλλ’ ἀργυροῦν εἴδωλον ἕστηκας, τράγε; ἕστηκα τὴν σὴν ἐξελέγχων ἀργίαν.

β 458 Βοῦς ἕβδομος: πέμματα κέρατα ἔχοντα κατὰ μίμησιν τῆς πρωτοφαοῦς σελήνης. ἐκάλουν δὲ αὐτὸ βοῦν προστιθέντες καὶ τὸ ἕβδομον, ὅτι ἐπὶ ἓξ ταῖς σελήναις ἐπεθύετο οὗτος ἕβδομος, ὡς Εὐθυκλῆς ἐν Ἀταλάντῃ. ὁμοίως δὲ καὶ αἱ σελῆναι πέμματα πλατέα κυκλοτερῆ, ἃ καὶ οὕτως ἐκάλουν. ἔστι δὲ παρὰ Εὐριπίδῃ ἐν Ἐρεχθεῖ καὶ παρ’ Ἀχαιῷ ἐν Ἴριδι. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἄγαν ἀναισθήτων. καὶ Βοῦς ἐνάλιος, ἐπὶ τῶν μηδὲν χρησιμευόντων.

β 459 Βοῦς ἐν αὐλίῳ κάθῃ: παροιμία ἐπὶ τῶν ἀχρήστων.

β 460 Βοῦς ἐπὶ γλώττης: ἐπὶ τῶν μὴ δυναμένων παρρησιάζεσθαι· ἢ διὰ τὴν ἰσχὺν τοῦ ζῴου. ἢ διὰ τὸ τῶν Ἀθηναίων νόμισμα βοῦν ἔχειν ἐγκεχαραγμένον, ὅπερ ἐκτίνειν ἔδει τοὺς παρρησιαζομένους.

β 461 Βοῦς ἐπὶ σωρῷ: ἐπὶ τῶν ἡδυπαθούντων. ἢ ἐπὶ τῶν ἀλοούντων καὶ διὰ φιμοῦ ἐσθίειν κωλυομένων. καὶ Βοῦς εἰς ἀμητόν, ἐπὶ τῶν μετὰ ὠφελείας καμνόντων.

β 462 Βοῦς Κύπριος: ἐπὶ τοῦ χυδαίου καὶ ἀναισθήτου. φασὶ γὰρ τοὺς Κυπρίους βόας κοπροφαγεῖν.

β 463 Βοῦς ὁ Μολοττῶν: ἐπὶ τῶν εἰς πολλὰ διαιρουμένων καὶ κατακοπτομένων πράγματα. οἱ γὰρ Μολοττοὶ ἐν τοῖς ὁρκωμοσίοις κατακόπτοντες εἰς μικρὰ τὰς βοῦς τὰς συνθήκας ἐποιοῦντο.

β 464 Βοῦς ὑπὸ ζυγόν: ἐπὶ τῶν ἀεὶ μοχθούντων.

β 465 Βούσταθμον καὶ Βουστάδιον: τὸ βοοστάσιον.

β 466 Βουτάδης: δῆμός ἐστι τῆς Οἰνηΐδος Βουτία· ἀφ’ ἧς Βουτάδαι οἱ δημόται.

β 467 Βούτης: οὗτος τὴν ἱερωσύνην ἔσχε, καὶ οἱ ἀπ’ αὐτοῦ Βουτάδαι ἐκλήθησαν. καλοῦνται δὲ Ἐτεοβουτάδαι οἱ ἀπόγονοι τοῦ Βούτου· τὸ γὰρ ἐτεὸν ἀληθὲς δηλοῖ.

β 468 Βουταλίων καὶ Κόροιβος καὶ Μελιτίδης ἐπὶ μωρίᾳ διεβέβληντο. Ἀριστοφάνης· τέως δ’ ἀβελτερώτατοι κεχηνότες Μαμμάκυθοι, Μελιτίδαι κάθηνται.

β 469 Βούτας: βοονόμος. αὐτὰρ ὁ βούτεω ἀντίος ἐκ πλαγίων ἴεθ’· ὁ δὲ ῥοπάλῳ γυρὸν ἀπεκράνιζε βοὸς κέρας.

β 470 Βούτομον: φυτάριον παραπλήσιον καλάμῳ, ὅπερ ἐσθίουσιν οἱ βόες.

β 471 Βουτόροις: τοῖς πλήττουσι τοὺς βόας. Μαυρούσιοι ἔχουσι δόρατα βουτόροις ὀβελοῖς ἴσα.

β 472 Βουτύπος: βοοθύτης, ὁ τοὺς βόας βάλλων πέλυκι.

β 473 Βουφάγος· ὑετὸν ἄρτι κόμης ἀπεμόρξατο, τοῦ δὲ κατ’ ἴχνος βουφάγος εἰς κοίλην ἀτραπὸν ἷκτο λέων.

β 474 Βουφόνια: ἑορτὴ παρὰ Ἀθηναίοις πάνυ ἀρχαία. ἐν γὰρ τοῖς Διϊπολείοις φασὶ τὸν βοῦν τὸ πόπανον φαγεῖν τὸ παρεσκευασμένον εἰς τὴν θυσίαν, Θαύλωνα δέ τινα, ὡς εἶχε, τῷ πελέκει ἀποκτεῖναι τὸν βοῦν, ὡς καὶ Ἀνδροτίων φησί.

β 475 Βουφόνια: ἑορτὴ παλαιά, ἥν φασιν ἄγεσθαι μετὰ τὰ μυστήρια· ὅτε καὶ τὸν βοῦν ἔθυον εἰς ὑπόμνησιν τοῦ πρώτου φονευθέντος ἐν ἀκροπόλει βοὸς, ἁψαμένου τοῦ πελάνου ἐν τῇ θυσίᾳ τῶν Διϊπολίων.

β 476 Βουφόρτων: πολυφόρτων. μέγα πλευρὸν ἀνῆψαν δαίμοσι βουφόρτων κοίρανοι εἰκοσόρων.

β 477 Βουχανδής: βοῦν χωρῶν. ἐν Ἐπιγράμμασι· βουχανδὴς ὁ λέβης· ὁ δὲ θεὶς Ἐραππίδαυλος Κεύβοτος.

β 478

Βούχετα: πόλις ἐστὶ τῆς Ἠπείρου, οὐδετέρως καὶ πληθυντικῶς λεγομένη· ἥν φησι Φιλόχορος ὠνομάσθαι διὰ τὸ τὴν Θέμιν ἐπὶ βοὸς ὀχουμένην ἐλθεῖν ἐκεῖ κατὰ τὸν Δευκαλίωνος κατακλυσμόν.

β 479 Βουχίλου: ὄνομα τόπου· ἡ εὐθεῖα Βούχιλον. Πᾶνες βουχίλου κράντορες Ἀρκαδίης. τουτέστιν εὐτρόφου.

β 480 Βῶλις: ὄνομα κύριον. Πολύβιος· ὁ δὲ Ἀχαιὸς προσδεξάμενος ἐκτενῶς καὶ φιλανθρώπως τὸν Βῶλιν ἀνέκρινε διὰ πλειόνων ὑπὲρ ἑκάστου τῶν κατὰ μέρος.

β 481 Βῶλος, Δημόκριτος, φιλόσοφος. Ἱστορίαν καὶ Τέχνην ἰατρικήν. ἔχει δὲ ἰάσεις φυσικὰς ἀπό τινων βοηθημάτων τῆς φύσεως.

β 482 Βῶλος, Μενδήσιος, Πυθαγόρειος. Περὶ τῶν ἐκ τῆς ἀναγνώσεως τῶν ἱστοριῶν εἰς ἐπίστασιν ἡμᾶς ἀγόντων, Περὶ θαυμασίων, Φυσικὰ δυναμερά· ἔχει δὲ περὶ συμπαθειῶν καὶ ἀντιπαθειῶν λίθων κατὰ στοιχεῖον· Περὶ σημείων τῶν ἐξ ἡλίου καὶ σελήνης καὶ ἄρκτου καὶ λύχνου καὶ ἴριδος.

β 483 Βῶλος ἄρουρα: ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ προσφιλοτιμουμένων. ὁμοίως τῷ, θαλάττῃ ἐκ χαράδρας ὕδωρ. Βόλος δὲ ἡ δρόσος.

β 484 Βωμακεύματα.

β 485 Βώμαξ: βωμολόχος. ὁ ἀπὸ τῶν βωμῶν πρὶν καρπωθῆναι αἴρων. τάσσεται δὲ καὶ ἐπὶ τῶν μαλακιζομένων.

β 486 Βωμολοχεύεσθαι· βωμολόχοι κυρίως ἐλέγοντο οἱ ἐπὶ τῶν θυσιῶν ὑπὸ τοὺς βωμοὺς καθίζοντες καὶ μετὰ κολακείας προσαιτοῦντες, ἔτι δὲ καὶ οἱ παραλαμβανόμενοι ταῖς θυσίαις αὐληταὶ καὶ μάντεις. ἐκ μεταφορᾶς δὲ τούτων ἐλέγοντο βωμολόχοι καί τινες εὔκολοι καὶ ταπεινοὶ ἄνθρωποι καὶ πᾶν ὁτιοῦν ὑπομένοντες ἐπὶ κέρδει διὰ τοῦ παίζειν τε καὶ σκώπτειν. ὥστε τοὔνομα τρία σημαίνει.

β 487 Βωμολοχεύμασι: πανουργεύμασι.

β 488 Βωμολοχεύσαιτο: ἀντὶ τοῦ ἀγοραῖόν τι εἴποι ἢ εὐτελές. Ἀριστοφάνης Νεφέλαις περὶ διαφθορᾶς ἁρμονικῶν· ἐντειναμένους τὴν ἁρμονίαν, ἣν οἱ πατέρες παρέδωκαν. εἰ δέ τις αὐτῶν βωμολοχεύσοιτ' ἢ κάμψειέ τινα καμπήν· οἱονεὶ κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν προενέγκοιτο· οἵας οἱ νῦν τὰς κατὰ Φρύνιν, ταύτας τὰς δυσκολοκάμπους, ἐπιτριβέσθω τυπτόμενος πολλὰς, ὡς τὰς Μούσας ἀφανίζων. καὶ αὖθις· πολλὰ μὲν οὖν καὶ ἄλλα τῆς τούτου βωμολοχίας τε καὶ αἱμυλίας μαρτύρια διαρρεῖ, ἐν δὴ τοῖς ἄρα καὶ ἐκεῖνοι.

β 489 Βωμολόχος: ὁ περὶ τοὺς βωμοὺς λοχῶν, ὑπὲρ τοῦ λαβεῖν τι παρὰ τῶν θυόντων. μεταφορικῶς δὲ καὶ ὁ παραπλησίως τούτῳ ὠφελείας ἕνεκά τινας κολακεύων. καὶ βωμακεύματα καὶ βωμολοχεύματα. Ἀπολλόδωρος Κυρηναῖος, ὁ εὐτράπελος καὶ γελωτοποιός. τινὲς τὸν μετά τινος εὐτραπελίας κόλακα. καὶ τὸν πανοῦργον δὲ καὶ συκοφάντην.

β 490 Βωμολόχος: ὁ κακοῦργος, ἀσεβής. παρὰ τοὺς λοχῶντας τὰ ἐν τοῖς βωμοῖς ἐπιτιθέμενα θύματα, ἢ τοὺς θύοντας, ἵνα αἰτήσαντες λάβωσί τι. καὶ Βωμολόχοις ἔπεσι, τοῖς πρὸς χάριν καὶ ἀπὸ κολακείας. ἀπὸ δὲ τῶν λοχώντων περὶ τοὺς βωμοὺς καὶ βουλομένων τι λαβεῖν μετήνεκται ἡ λέξις. οὗτοι γὰρ ἐπὶ τῶν βωμῶν πολλὰ ἐλιπάρουν κολακεύοντες λαβεῖν τι τῶν θυόντων. Ἀγαθίας· οὐ γὰρ σύνηθες, ὁ Ναρσῆς, ἔμοιγε, ἔφη, βωμολοχίαις τε καὶ γλισχραῖς ἐλπίσιν ἐγκαλλωπίζεσθαι. καὶ περὶ Ἰσιδώρου Δαμάσκιος· ὁ δὲ ἐπίχαρις ἦν, εὐτραπελίας μὲν καὶ βωμολοχίας ὅτι πορρωτάτω.

β 491 Βωμόν: σταπίδα Λάκωνες.

β 492

Βωμός: τέμενος. καὶ τόπος ἀνάβασιν ἔχων πρὸς τὸ λέγειν ἐπήκοα· ἐφ' ὃν Κράτης ἀναβὰς, Κράτης ἀπολύει τὰ Κράτητος, εἴρηκε. καὶ Ἀριστοφάνης· ὁ γὰρ βωμὸς θύρασι καὶ δή. ἀντὶ τοῦ ἐξ ἑτοίμου ἐστὶ παρεσκευασμένος.

β 493 Βωμοί: οὕτως λέγονται αἱ βάσεις, στιβάδες.

β 494 Βῶν: ἀσπίδα Ἀργεῖοι. ἀντὶ τοῦ βοῦν, ἤτοι βύρσαν.

β 495 Βῶνος, στρατηγὸς τῆς Μυσίας, τῆς παρὰ τῷ Ἴστρῳ ποταμῷ παρατεταμένης, ἀνὴρ συνέσεως ἐς ἄκρον ἥκων καὶ λίαν ἀγαθὸς τά τε πολιτικὰ καὶ πολέμια. ἦν ἐπὶ Ἰουστινιανοῦ.

β 496 Βώνυσοι: ἄποικοι, βουκόλοι.

β 497 Βῶξ.

β 498 Βῶρος: ὄνομα κύριον.

β 499 Βῶροι: ὀφθαλμοί.

β 500 Βῶς: βύρσα, ἀσπίς.

β 501 Βωσόμεθα: καλέσομεν, μαρτυρούμεθα.

β 502 Βῶσον: βοήθησον. Κρατῖνος.

β 503 Βωστρεῖν: καλεῖν, βοᾶν. Ἀριστοφάνης· ποιήσω τοὺς δημότας βωστρεῖν ς' ἐγὼ πεκτούμενον.

β 504 Βώτιον: τόπος.

β 505 Βωτεῖν: ἀροῦν. Λάκωνες.

β 506 Βωτιάνειρα: ἡ βόσκουσα τοὺς ἄνδρας.

β 507 Βώτορες: βοήτορες, νομεῖς. καὶ δώτορες. ἐν Ἐπιγράμμασι· τὸν νομίην καὶ ἔπαυλα βοῶν καὶ βώτορας ἄνδρας σινόμενον κλαγγάν τ' οὐχὶ τρέσαντα κυνῶν πέφνε καὶ ἐκ ταύτας ἐκρέμασε πίτυος.

β 508 Βώχανος: ὄνομα κύριον. ἦν δὲ Τούρκων ἀρχηγός· ὃς ἐπὶ Ἰουστινιανοῦ τὸν Βόσπορον ἐπόρθησεν. ζήτει ἐν τῷ Βόσπορος.

β 509 Βραβεύει· δοτικῇ. ἐπιψηφίζεται, διανέμει. καλῶς δέ σφισι τοῦ δαιμονίου βραβεύσαντος τὰ κατὰ τὸν πλοῦν.

β 510 Βραβευτής: διοικητὴς, κριτὴς, ὁριστής. καὶ Βραβεῖον, ἐπινίκιος ἀμοιβή.

β 511 Βραβεῖς: οἱ ἐν τοῖς ἀγῶσι κήρυκες. Σοφοκλῆς· ὅσον γὰρ εἰσεκήρυξαν βραβεῖς δρόμων διαύλων πένταθλ', ἃ νομίζεται.

β 512 Βραβεῖον· βρέβιον δέ.

β 513 Βράβηλα: τὰ καλούμενα Δαμασκηνά. Θεόκριτος· ὄρπακες βραβήλοισι καταβρίθοντες ἔραζε. Ἀθηναῖος δὲ ἐν τῷ β′ τῶν Δειπνοσοφιστῶν φησι Σέλευκον ὀνομάζειν κοκκύμηλα καὶ βράβηλα καὶ βάδρυα. εἴρηται δὲ βοράβηλά τινα ὄντα, τὰ τὴν βορὰν ἐκβάλλοντα· ἔστι γὰρ μαλακτικὰ τῆς γαστρός. εἴρηται δὲ καὶ μάδρυα, οἱονεὶ μαλόδρυά τινα ὄντα. Δαμασκηνὰ δὲ λέγεται κατ' ἐξοχὴν, διὰ τὸ ἐν Δαμασκῷ τῇ πόλει γεωργούμενα εὐθαλέστερα καὶ καλλίονα εἶναι.

β 514 Βραγχίδαι· ὅτι οἱ ἐν Διδύμοις τῆς Μιλησίας οἰκοῦντες Ξέρξῃ χαριζόμενοι τὸν νεὼν τοῦ ἐπιχωρίου Ἀπόλλωνος τοῖς βαρβάροις προὔδοσαν· καὶ ἐσυλήθη τὰ ἀναθήματα πάμπλειστα ὄντα. δεδιότες οὖν οἱ προδόται τὴν ἐκ τῶν νόμων καὶ τῶν ἐν ἄστει τιμωρίαν δέονται Ξέρξου μισθὸν λαβεῖν τῆς κακίστης ἐκείνης προδοσίας, μετοικισθῆναι ἐν χώρῳ τινὶ Ἀσιανῷ. ὁ δὲ πείθεται, καὶ ἀνθ' ὧν εἶχε κακῶς καὶ ἀσεβῶς, ἔδωκεν αὐτοῖς οἰκεῖν ἔνθεν οὐκ ἔμελλον ἐπιβήσεσθαι τῆς Ἑλλάδος ἔτι, ἀλλ' ἔξω τοῦ δέους ἔσεσθαι τοῦ κατειληφότος αὐτοί τε καὶ τὸ ἐκείνων γένος. κᾆτα λαχόντες δὴ τὸν χῶρον ἐν οἰωνοῖς οὐδαμῇ χρηστοῖς πόλιν ἐγείρουσι καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τίθενται Βραγχίδας ὄνομα αὐτῇ καὶ ᾤοντο μὴ μόνους ἀποδρᾶναι Μιλησίους, ἀλλὰ καὶ τὴν δίκην αὐτήν. οὐ μὴν ἐκάθευδεν ἡ τοῦ θεοῦ πρόνοια· Ἀλέξανδρος γάρ, ὅτε τὸν Δαρεῖον νικήσας τῆς Περσῶν ἀρχῆς ἐγκρατὴς ἐγένετο, ἀκούσας τὰ τολμηθέντα καὶ μισήσας αὐτῶν τὴν τοῦ γένους διαδοχὴν ἀπέκτεινε πάντας, κακοὺς εἶναι κρίνων τοὺς τῶν κακῶν ἐκγόνους, καὶ τὴν ψευδώνυμον πόλιν κατέσκαψε, καὶ ἠφανίσθησαν.

β 515 Βράγχη: πάθος περὶ τὰς ὗς γινόμενον. καὶ ζήτει ἐν τῷ διάρροια.

β 516 Βραδύς: ὁ μὴ ἀγχίνους. κἀπιλήσμων καὶ βραδύς. Ἀριστοφάνης Νεφέλαις. οὐ γὰρ ἐπὶ τῆς τοῦ σώματος κινήσεως παρείληπται νῦν, ἀλλὰ τὸ μὴ ἀγχίνουν καὶ νωθὲς τῆς διανοίας θέλει δηλοῦν.

β 517 Βράκανα: ἄγρια καὶ δύσπλυτα λάχανα.

β 518 Βράσσει: ζέει, ἀναβάλλει.

β 519 Βρασίδας, ὁ Τέλλιδος, Λακεδαιμονίων στρατηγὸς, Μεθώνην ἀποστᾶσαν πρὸς Ἀθηναίους πολεμήσας ἀνεκαλέσατο. ἠρίστευσε δὲ καὶ περὶ Πύλον στρατηγῶν, πρῶτος τῆς νηὸς ἐκπηδήσας· οὗ καὶ ἐτρώθη καὶ τὴν ἀσπίδα ἀπώλεσεν· ἐπὶ τούτοις σπονδαὶ ἐγένοντο ἐνιαύσιοι, ἃς Ἀθηναῖοι λύειν ἤρξαντο. περὶ δὲ Ἀμφίπολιν καὶ Θρᾴκην εὐδοκιμοῦντα αὐτὸν οἰκιστὴν ἀντὶ Ἅγνωνος ἐπεγράψαντο. ὁ δὲ πόλεμος ὁ μέχρι τῆς Βρασίδα καὶ Κλέωνος τελευτῆς ἔτη ἐπέσχε δέκα, ἐκλήθη δὲ Ἀρχιδάμιος. αἰτίας δὲ περὶ αὐτοῦ προστιθέντες, ὡς φρονεῖ τὰ Βρασίδα. ἀντὶ τοῦ τῶν Λακεδαιμονίων.

β 520 Βρασμὸς γῆς: ὅταν καχλάζῃ μετὰ κινήματος, ἐκτιναγμὸς δὲ ὅταν ἀναρριπτῆται.

β 521 Βραυρών: τόπος τῆς Ἀττικῆς, ἐν ᾧ τὰ Διονύσια ἤγοντο καὶ μεθύοντες πολλὰς πόρνας ἥρπαζον. καὶ Ἀριστοφάνης· ὦ δέσποτα, ὅσην ἔχει τὴν πρωκτοετηρίδα. εἴρηται δὲ διὰ τὸ διὰ πενταετηροῦς χρόνου ἄγεσθαι τὰς θεωρίας τῶν Διονυσίων. ζήτει ἐν τῷ ἄρκτος.

β 522 Ὅτι τὰ παρ’ ἡμῖν βραχιόλια χλιδόνες καλοῦνται.

β 523 Βραχίων: τροπικῶς ἡ δύναμις, ἐπειδὴ δι’ αὐτοῦ ἐργάζεσθαι πεφύκασιν οἱ ἄνθρωποι. Δαβίδ· ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται.

β 524 Βραχμάν: βασιλεὺς, ὁ καὶ τῇ χώρᾳ δοὺς τὴν προσηγορίαν. ἔγραψε νόμους Βραχμάνων καὶ πολιτείαν τοῦ αὐτοῦ ἔθνους ἰδίᾳ διαλέκτῳ. ὅτι οἱ Βραχμᾶνες ἔθνος ἐστὶν εὐσεβέστατον καὶ βίον ἀκτήμονα σφόδρα κεκτημένον, ἐς νῆσον τοῦ ὠκεανοῦ κατοικοῦν, καὶ τὸν κλῆρον τοῦτον ἐκ τῶν τοῦ θεοῦ κριμάτων κληρωσάμενον. ἐν ᾧ τόπῳ παραγενόμενος Ἀλέξανδρος ὁ Μακεδὼν καὶ στήσας στήλην ἐπέγραψεν· ἐγὼ μέγας Ἀλέξανδρος βασιλεὺς ἔφθασα μέχρι τούτου. ἐν ᾗ νήσῳ κατοικοῦσιν οἱ Μακρόβιοι. ζῶσι γὰρ ρν′ ἔτη διὰ τὴν πολλὴν καθαρότητα καὶ εὐκρασίαν τοῦ ἀέρος· παρ’ οἷς οὐδὲν τετράποδόν ἐστιν, οὐ γεώργιον, οὐ σίδηρος, οὐκ οἰκοδομὴ, οὐ πῦρ, οὐ χρυσὸς, οὐκ ἄργυρος, οὐκ ἄρτος, οὐκ οἶνος, οὐ κρεωφαγία· ἀλλὰ τὸν ὑγρὸν καὶ γλυκὺν καὶ εὔκρατον ἀέρα καὶ πάσης ἀρρωστίας καὶ φθορᾶς ἀπηλλαγμένον, καὶ μικρᾶς ὀπώρας καὶ διειδεστάτου ὕδατος ἀπολαύοντες σέβονται γνησίως τὸν θεὸν καὶ ἀδιαλείπτως προσεύχονται. καὶ οἱ μὲν ἄνδρες πρὸς τὸ μέρος τοῦ ὠκεανοῦ προσπαροικοῦσιν, αἱ δὲ γυναῖκες ἐντεῦθέν εἰσι τοῦ Γάγγου, παραρρέοντος εἰς τὸν ὠκεανὸν ἐπὶ τὸ μέρος τῆς Ἰνδίας. οἱ οὖν ἄνδρες περῶσι πρὸς τὰς γυναῖκας Ἰουλίῳ καὶ Αὐγούστῳ μηνί, παρ’ οἷς ὑπάρχουσι ψυχρότεροι, τοῦ ἡλίου πρὸς ἡμᾶς καὶ βορρᾶν ὑψωθέντος, οἵγε καὶ εὐκαρπότεροι γινόμενοι πρὸς οἶστρον αὐτοὺς κινεῖν λέγουσιν ὅπερ δὴ καὶ τὸν Νεῖλόν φασιν οὐ κατὰ ταὐτὸν τοῖς ἄλλοις ποταμοῖς πλημμυρεῖν, ἀλλὰ μεσοῦντος τοῦ θέρους ἐπικλύζειν τὴν Αἴγυπτον, ὡς τοῦ γε παντὸς ἡλίου τὴν βορειοτέραν διαθέοντος ζώνην καὶ τοῖς ἄλλοις μὲν παρενοχλοῦντος ποταμοῖς καὶ συγκρύβοντος, τούτου δὲ πλεῖστον ἀπέχοντος. καὶ ποιήσαντες μετὰ τῶν γυναικῶν αὐτῶν ἡμέρας μ′ πάλιν ἀντιπερῶσι. τῆς δὲ γυναικὸς δύο παῖδας γεννησάσης οὐκέτι ὁ ἀνὴρ ἀντιπερᾷ πρὸς αὐτήν, οὔτε μὴν ἐκείνη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλησιάζει ἄλλῳ διὰ πολλὴν εὐλάβειαν. εἰ δὲ συμβῇ στεῖραν ἐν αὐταῖς εὑρεθῆναι, μέχρι πενταετοῦς διαπερῶν ὁ ἀνὴρ αὐτῆς καὶ συγγινόμενος αὐτῇ, ἐὰν οὐ τέκῃ, οὐκέτι πλησιάζει αὐτῇ. διὰ τοῦτο οὐδὲ πολυάνθρωπός ἐστιν αὐτῶν ἡ χώρα διὰ τὴν ὀλιγοδεΐαν. καὶ τὸ πληθυντικὸν Βραχμᾶνες, καὶ Βραχμᾶσι.

β 525 Βραχυμυθίας: βραχυλογίας. καὶ Βραχέσιν, ἀντὶ τοῦ εὐτελέσι.

β 526 Βραχυτελῆ: σύντομον, μικρόν.

β 527 Βραχυφεγγίτης: ὁ ὀλιγοφαής. καὶ βραχυφεγγίτου λύχνου σέλας.

β 528 Βρέβιον. Βραβεῖον δέ.

β 529 Βρέγμα καὶ Βρεγμόν: τὸ ὑπερμετώπιον μέρος. πλήξας αἰγανέᾳ βρέγμα κυναγέτιδι. ἐν Ἐπιγράμμασι.

β 530 Βρεκεκὲξ κοὰξ κοάξ: ἐφύμνιον παρὰ Ἀριστοφάνει ἐν Βατράχοις. μίμημα φωνῆς βατράχων.

β 531 Βρέμει: ταράσσει, ἠχεῖν ποιεῖ.

β 532 Βρενθύεσθαι· αἰτιατικῇ. διὰ θυμὸν μετεωρίζεσθαι ἢ προσποιεῖσθαι ὀργίζεσθαι. ὁ δὲ σοβαρευόμενος πολλῷ μᾶλλον κατεβρενθύετο. καὶ Βρενθύεται, ἐπαίρεται. βρένθος δὲ εἶδος μύρου, ᾧ χριόμεναι αἱ γυναῖκες μέγα φρονοῦσι. καὶ Βρενθύῃ, σεμνύνῃ καὶ μέγα φρονεῖς ἐφ’ αὐτῷ. οἱ γὰρ ἀποδεδωκότες ἑαυτοῖς σοβαρῶς τε βαδίζουσιν. ὡς τοῦ μὲν Προδίκου ὄντος σοφοῦ, τοῦ δὲ Σωκράτους κενὴν ἡμῖν ἐπὶ σοφίᾳ δόξαν καρπουμένου. Ἀριστοφάνης Νεφέλαις· βρενθύῃ ἐν ταῖσιν ὁδοῖσιν, καὶ τὼ ’φθαλμὼ παραβάλλῃ. ἀποσεμνύνεις σεαυτὸν τῷ σχήματι καὶ ταυρηδὸν ὁρᾷς ἢ ἀλαζονικῶς. ἡ μεταφορὰ ἀπὸ βρενθείου μύρου. καὶ Βρενθυόμενος, ἐπαιρόμενος, μέγα φρονῶν. Ἀγαθίας· οἱ δὲ μειζόνως, εἴπερ ἐχρῆν ἐπὶ τοῖς φθάσασι βρενθυόμενοι τῶν ἐν ποσὶ κατωλιγώρουν. καὶ αὖθις· ὁ δὲ ἐς τὴν βασιλίδα ἐπορεύετο ἐξωγκωμένος καὶ μάλα βρενθυόμενος.

β 533 Βρεντήσιον: χώρα τῆς Ἰταλίας· εἴρηται δὲ οὕτως, ὅτι λιμένας ἔχει κέρασιν ἐλάφου παραπλησίους. βρένδον δὲ καλοῦσι τὴν ἔλαφον Μεσάππιοι

β 534 Βρέτας: εἴδωλον, ἄγαλμα. παρὰ τὸ βροτῷ ἐοικέναι. προσπεσεῖν ποι πρὸς βρέτας. πρὸς τέμενος, ἢ πρὸς ἕδος, ἢ πρὸς ἄγαλμα θεῶν ἱκέτας γενέσθαι.

β 535 Βρέχειν: ἐπὶ τοῦ πίνειν λέγεται. καὶ Ὑποβεβρεγμένος, ὁ μεμεθυσμένος.

β 536 Βρῆννον· ὡς οὖν μετὰ τὴν ἅλωσιν τῆς Ῥώμης ἐπανῆλθεν ὁ Κάμιλλος καὶ τοὺς περὶ τὸν Βρῆννον βαρβάρους ἀνεῖλεν, εἰς κρίσιν ἀγαγὼν τὴν ὑπόθεσιν ἀπέδειξε πάντων γεγονέναι τῶν πεπραγμένων αἴτιον τὸν Φεβρουάριον.

β 537 Βριάρεω.

β 538 Βριαροί: βαρεῖς, ἄγριοι, στερεοὶ, φοβεροί.

β 539 Βριθομένη: βαρυνομένη διὰ πλῆθος ὧν ἔφερεν. ἐν Ἐπιγράμμασι· γήραϊ νουσοφόρῳ βριθομένης παλάμης.

β 540 Βρῖθος: βάρος. τοὺς πύργους ἀμήχανον ἑλεῖν, μήτε ἀνατραπῆναι ῥᾳδίως διὰ τὸ βρῖθος, μήτ’ ἐμπρησθῆναι διὰ τὸν σίδηρον. καὶ αὖθις· σιδηροβριθές τ’ ἔλαβε δεξιᾷ ξύλον.

β 541 Βρῖθον: ἀντὶ τοῦ ἔβριθον. τεῖχος ἀνδρῶν τε καὶ ὅπλων βρῖθον.

β 542 Βρίθων· γενικῇ καὶ δοτικῇ. εὐθηνῶν, ἢ βαρῶν.

β 543 Βριμάζων: τῇ τοῦ λέοντος χρώμενος φωνῇ.

β 544 Βριμήσαιο: ὀργισθείης. ὥστ’ εἰ σὺ βριμήσαιο, ὀστρακίνδα νύκτωρ κατασπάσαντες ἂν τὰς ἀσπίδας τὰς εἰσβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν. ἀντὶ τοῦ εἰ βουληθείης αὐτὸν ἐξορίσαι, τὰ σιτοφυλακεῖα κατάσχοιεν.

β 545 Βριμούμενος: ὀργιζόμενος. οὐ μὴν ἐθέλγετο ὁ ὕπατος, τοῖς ὑπηρέταις σὺν ὀργῇ βριμούμενος. καὶ Βριμοῦται, ἀπειλεῖ. καὶ Βριμωμέναις, ἦχον ἀποτελούσαις. μύλη γάρ τις ἦν αὐτόθι. ὁπότε οὖν οἱ ἄνω στρατιῶται τὸ αὐτὸ ποιεῖν ἤρχοντο, τότε κἀκεῖνοι ἔσειον τὴν μύλην· ὑπὸ γὰρ ταῖς πολλαῖς μύλαις βριμωμέναις ὁ τῆς μιᾶς ψόφος ῥᾳδίως ἐλάνθανεν.

β 546 Βρόγχος: καταπότης, ὁ λάρυγξ.

β 547 Βρόμιος: ὁ Διόνυσος, ὁ γενεσιουργὸς τῶν καρπῶν· παρὰ τὸ βορὰ βόριμος, καὶ ὑπερθέσει βρόμιος.

β 548 Βρόμος: ἦχος πυρὸς κυρίως. καὶ κούφοιο βαρὺν τυμπάνου βρόμον. ἐν Ἐπιγράμμασι. καὶ αὖθις· οὐκέτι κοιμίσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν.

β 549 Βροντή: νεφῶν ψόφος ἐκ παρατρίψεως ἢ ῥήξεως. ἔστι δὲ καὶ μηχάνημά τι, ὃ ἐκαλεῖτο βροντεῖον. ὑπὸ τὴν σκηνὴν δὲ ἦν ἀμφιφορεὺς ψηφῖδας ἔχων θαλαττίας· ἦν δὲ λέβης χαλκοῦς, εἰς ὃν αἱ ψῆφοι κατήγοντο καὶ κυλιόμεναι ἦχον ἀπετέλουν ἐοικότα βροντῇ.

β 550 Βρονταὶ καθ’ ὕπνους ἀγγέλων εἰσὶν λόγοι. Βροντάς· ζήτει ἐν τῷ χθονίας βροντάς. ζήτει ἐν τῷ ψόφος.

β 551 Βροτόεντα: ᾑμαγμένα.

β 552 Βροτοειδέσιν: ἀνθρωπίναις.

β 553 Βροτολοιγός: ὁ ὀλέθριος, ὁ τοὺς βροτοὺς ὀλοθρεύων. ἐν Ἐπιγράμμασι· Ἄρες βροτολοιγὲ, σκῦλα φέρειν δῴης πᾶσιν ἀπ’ ἀντιπάλων.

β 554 Βροτολοιγός: ὁ τοὺς βροτοὺς διαφθείρων. ὥσπερ οἱ ποιηταὶ λέγουσι, βροτολοιγὼ ἤστην.

β 555 Βροτός: φθαρτὸς ἄνθρωπος. Βρότος δὲ τὸ μετὰ κονιορτοῦ αἷμα.

β 556 Βρουμάλια· ταῦτα ἐπενόησε Ῥῶμος, ἐπειδὴ αὐτὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ Ῥῆμος ἐκ πορνείας γενόμενοι ἐξερρίφησαν καὶ παρὰ γυναικὸς ἀνετράφησαν. ὄνειδος δὲ ἦν Ῥωμαίοις τὸ ἐξ ἀλλοτρίων ἐσθίειν. ἕκαστος ἐν τοῖς συμποσίοις τὸ ἴδιον βρῶμα καὶ πόμα ἐκόμιζε, πρὸς τὸ μὴ ἀκούειν ἀλλοτριοφάγοι. οὗ δὴ χάριν ἐπενόησε Ῥῶμος τὰ Βρουμάλια, εἰρηκὼς ἀναγκαῖον εἶναι τρέφειν τὸν βασιλέα τὴν ἑαυτοῦ σύγκλητον ἐν τῷ χειμῶνι, ὅτε ἠρεμοῦσιν ἐκ τοῦ πολέμου, ἀρξάμενος ἀπὸ τοῦ α′ ἕως τοῦ ω′, κελεύσας καὶ τὴν σύγκλητον καλεῖν τοὺς στρατιώτας. καὶ μέλλοντες οἱ στρατιῶται ἀπιέναι, ηὔλουν ἀφ’ ἑσπέρας πρὸς τὸ γνῶναι ὅπου τραφήσονται. καὶ τοῦτο ἐπενόησε πρὸς τὸ ἀπαλλαγῆναι τῆς ὕβρεως ἑαυτοῦ ὁ Ῥῶμος καλέσας τὸ ὄνομα τοῦ ἀρίστου Βρουμαλιούμ, ὅ ἐστι Ῥωμαϊστὶ ἐκ τῶν ἀλλοτρίων τραφῆναι.

β 557 Βροχή· ζήτει περὶ ὄμβρου τοῦ ἐπὶ προρρήσει Ἀναξαγόρα γενομένου ἐν τῷ Ἀναξαγόρας.

β 558 Βρόχος· τὸ τῆς ἀγχόνης σχοινίον. ὁ δὲ ἤδη μεμηχανημένος ἀγχόνην, τὸν βρόχον ἐνδεδυμένος. καὶ αὖθις· ἡ δὲ ὑπὲρ τῆς ἀσεβοῦς μίξεως ἀλλαξαμένη βρόχον.

β 559 Βρόχοις: σχοινίοις. οἱ μὲν οὖν βρόχοις τισὶν ἐνάψαντες νύκτωρ ἀπὸ τοῦ περιβόλου καθῆκαν. καὶ αὖθις· διὰ τῶν βρόχων ἐς τὰς ἐπάλξεις ἀνέβαινον. καὶ Βρόχον ἁψάμενος αἰτιατικῇ, εἰ καὶ τὸ ἅπτομαι γενικῇ συντάσσεται.

β 560 Βρούτιδες: γυναῖκες οὕτω καλούμεναι, οἱονεὶ Σίβυλλαι καὶ προφήτιδες. πάσας δὲ τὰς ἐνθουσιώσας Σιβύλλας ἐκάλουν.

β 561 Βροῦτος, στρατηγὸς Ῥωμαίων, ἔγραψεν Ἐπιστολὰς καὶ τῶν Πολυβίου τοῦ ἱστορικοῦ βίβλων ἐπιτομήν. θαυμάζεται δὲ εἰς τὴν τῶν ἐπιστολῶν ἰδέαν, ἤγουν χαρακτῆρα. ζήτει ἐν τῷ δήμαρχοι.

β 562 Βροῦχος. ἡ κάμπη.

β 563 Βρωμᾶσθαι: τὸ ὀγκᾶσθαι πεινῶντα ὄνον. καὶ Βρῶμα, ἡ φωνή. καὶ Βρωματίζω· αἰτιατικῇ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

β 564 Βρώμης: βρώσεως, τροφῆς.

β 565 Βρωτόν: βρῶσιν, τροφήν. Ξενοφῶν· ὁ δὲ παριὼν ἐπὶ τὰ ὑποζύγια, εἴ τί που ὁρῴη βρωτὸν, ἐδίδου τοῖς βουλιμιῶσιν.

β 566 Βροῖσις: ὄνομα πόλεως.

β 567 Βρυάζει: πάλλει, τρυφερῶς διάκειται, θάλλει, εὐφραίνεται.

β 568 Βρυγμός: τρισμὸς ὀδόντων, ἢ μυλῶν ἀκόνησις.

β 569 Βρύει: ἀνθεῖ. τέθηλεν. ὁ δὲ εὐθὺ Λιβάνου τοῦ ὄρους ἀνέδραμε καὶ τὸ ὑποκείμενον πεδίον στάχυσι βρύον τοξεύει πυρί, καὶ τὸ λήϊον πᾶν τέφραν ᾤετο γεγονέναι.

β 570 Βρύει· δοτικῇ. δέδοικα μὴ βρύων ἕλκεσιν εἰσάγεις τὸ ἀνιάτρευτον. καὶ μετὰ γενικῆς· βρύει φυτῶν καὶ ἀνθέων.

β 571 Βρύκοντα: τρώγοντα, κατεσθίοντα. ἄρτι καταβρύκοντα τὸν εὐθηλήμονα μόσχον.

β 572 Βρύκουσα: τοὺς ὀδόντας τρίζουσα. εἶπεν ὀδόντα ὀξὺν ἐπιβρύκους’, οἷα Λάκαινα γυνή.

β 573 Βρύκουσα: ἐσθίουσα, δάκνουσα. παρὰ τὴν βορὰν, οἱονεὶ βορύκουσα. βρύκους’ ἀπέδεσθαί μού φησι τοὺς δακτύλους. Ἀριστοφάνης Ὄρνισι. καὶ ἀλλαχοῦ· βρύκουσά σου τοὺς πλεύμονας καὶ τἄντερ’ ἐξαλμήσω.

β 574 Βρύλλων: ὑποπίνων· ἀπὸ τοῦ τοῖς παιδίοις λεγομένου. Ἀριστοφάνης· βρύλλων τὸ καθ’ ἡμέραν. κλέπτοντά τε βούλομαι τρέφειν ἕνα προστάτην. τοῦτον δ’ ὅταν ᾖ πλέως, ταπεινώσας ἐπάταξα. ἀντὶ τοῦ ὅταν γένηται φαεινὸς, τουτέστι πλήρης· ὅταν ηὐξῆσθαι δοκῇ καὶ μέγας εἶναι, τοῦτον ταπεινὸν ἐποίησα. τουτέστιν, ἐάσας πλουτῆσαι δημεύσω.

β 575 Βρυώδης: δυσώδης.

β 576 Βρύσις. λύσις ὀνείρου· πηγὴ διαυγὴς τὰς νοὸς λύει λύπας.

β 577 Βρύτια: τὰ τῆς σταφυλῆς πιέσματα, ἅ τινες στέμφυλα λέγουσιν.

β 578 Βρυτίδαι: ὄνομα γένους Ἀττικοῦ.

β 579 Βρύχιος: βυθιζόμενος ὕδατι. καὶ Ἐμβρύοικος, ἡ ἄγκυρα ἡ τὸν βυθὸν οἰκοῦσα. καὶ Ἔμβρυον, τὸ ἐγγάστριον βρέφος. ἐν Ἐπιγράμμασι· ἄγκυρον ἐμβρύοικον ἐρυσινηΐδα. ἐπὶ Ἡρακλείου βασιλέως σ′ χιλιάδες ἀνδρῶν διεφθάρησαν ἐν τῷ πρὸς Ἰσαύρους πολέμῳ. ὁ δὲ βασιλεὺς Ἡράκλειος χρήματα πλεῖστα καὶ χρυσὸν καὶ ἄργυρον καὶ λίθους πολυτελεῖς πέμπει, ἅπερ βρύχια γέγονεν ἐπὶ Σεργίου πατριάρχου.

β 580 Βρύχων τοὺς ὀδόντας ὁ λέων.

β 581 Βοίδιον: βοΐδιον. βοίδιον δὲ καλεύμαν τότε ἐγώ· νῦν δὲ Χάρητος εὐνέτις. ζήτει ποῦ τὸ Βοίβη καὶ Βοιβηΐς λίμνη.

β 582 Βοιωτία. καὶ Βοιώτιος νόμος, ἐπὶ τῶν τὰς ἀρχὰς μὲν ἠρεμαίως ἐχόντων, αὖθις δὲ σφοδρῶς ἐπιγινομένων.

β 583 Βοιωτία ὗς: ἐπὶ τῶν ἀναισθητούντων καὶ ἀπαιδεύτων.

β 584 Βοῖπις: ἡ βουνώδης γῆ.

β 585 Βύας: εἶδος ὀρνέου νυκτερινοῦ. καὶ Βύας ὤφθη· καὶ Βύαι ὤφθησαν. Δίων ἐν Ῥωμαϊκοῖς ἐν τέρατος λόγῳ τοῖς Ῥωμαίοις ταῦτα ἐπιφαίνεσθαι πολλάκις λέγει. σημαίνει δὲ συμφοράς.

β 586 Βύβλις: ὄνομα κύριον. ἀδελφὴ Κάννου· ἀμφότεροι δυστυχήσαντες.

β 587 Βύβλον: πάπυρον. Αἰλιανός· κελεύει τὸν μὲν ἀποδόσθαι τῷ Νικάνορι φάκελλον βύβλου τετρακοσίων χρυσῶν· ἐὰν δὲ μὴ ἐθέλῃ, ἀεὶ προσεπιτιμᾶν καὶ ἐπαιτεῖν τοῦ χρυσίου προστιθέντα, ἕως ἂν ἀπειπὼν δῷ ὅσον ἂν αἰτηθεὶς τύχῃ τῇ ἐπὶ πάσαις φωνῇ. καὶ παροιμία·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βύβλου δὲ καρπὸς οὐ κρατεῖ στάχυν μέγαν, ἐπὶ τῶν οὐ δυναμένων τοῖς ἰδίοις χρῆσθαι καλοῖς, παρόσον ἀσθενὴς οὖσα ἡ βύβλος οὐ δύναται μέγαν φέρειν καρπόν.

β 588 Βυζάντιον· ὅτι τὸ Βυζάντιον ἐπὶ Σεβήρου βασιλέως Ῥωμαίων τετείχιστο γενναίῳ τείχει πεποιημένῳ μυλίτῃ λίθῳ, ἐς τετράγωνον εἰργασμένῳ. ζʹ μὲν γὰρ ἦσαν ἀπὸ τῶν Θρᾳκίων πυλῶν πύργοι πρὸς τὴν θάλασσαν καθήκοντες. τούτων δὲ ἤν τις τῷ πρώτῳ ἐνεβόησέ τι ἢ λίθον ἔρρηξεν, αὐτός τε ἤχει καὶ ἐλάλει καὶ τῷ δευτέρῳ τοῦτο ποιεῖν παρεδίδου, καὶ οὕτως διὰ πάντων ἐχώρει. ζήτει ἐν τῷ Σεβῆρος περὶ Βυζαντίου πλατύτερον.

β 589 Βύζην: ἀθρόως, πυκνῶς, ἐπαλλήλως, πεπυκνωμένως. Ἀρριανός· κατὰ τὸ στόμα τοῦ λιμένος, ᾗ στενότατον ἦν, βύζην τὰς τριήρεις ὁρμίζοντες. ὁ δὲ τὰ φρέατα φορυτοῦ καὶ τῇ ἐπιτυχούσῃ ὕλῃ βύζην ἐνέπλησεν.

β 590 Βυθίζω· αἰτιατικῇ.

β 591 Βυκάνη: ὄργανον μουσικόν. καὶ βυκάνην ἐξ ἀργύρου εὗρε Μωϋσῆς. ἐγένοντο βʹ, καὶ τῇ μὲν πρὸς παρακέλευσιν καὶ συλλογὴν ἐχρῶντο, τῇ δὲ συνελθεῖν ἀρχάς.

β 592 Βύουσι: φράττουσι, καλύπτουσιν. ἔνθεν καὶ ἀκρόβυστος, ὁ τὸ ἄκρον βεβυσμένον ἔχων. Πισίδης· ἐρῶ δέ σοι νῦν, εἴπερ οὐ βύειν θέλεις.

β 593 Βυρσαίετος: ὁ Κλέων. συντέθειται δὲ ἡ λέξις ἀπὸ τῆς βύρσης καὶ τοῦ αἰετοῦ. ἅμα μὲν ὡς βυρσοδέψην κωμῳδῶν τὸν Κλέωνα καὶ ὡς κλέπτην καὶ ἅρπαγα τῶν κοινῶν. ἁρπακτικὸν γὰρ τὸ ζῷον ὁ ἀετός. Σκυτοδέψης Ἀττικόν, Βυρσοδέψης δὲ Ἀσιανόν. ἢ Παφλαγὼν βυρσεύς. σημαίνει δὲ τὸ ἐκ τοῦ ἐμβρέχειν τὰ δέρματα καὶ πλείοσιν ἡμέραις ἐᾶν αὐτὰ εἰς τὸ φάρμακον, ἵνα διαλάβοιεν, ἀπὸ τῆς ὀσμῆς τοῦ ὕδατος καὶ τῶν δερμάτων μολυνομένων ἄχαρι ὀδωδέναι. διαβάλλει οὖν ὡς δύσοσμον, ἄλλως τε καὶ τὴν εὐτέλειαν ἀντιδεικνὺς Κλέωνος, ἀφ’ οἵας τύχης ὁρμώμενος πρωτεύει τῶν Ἀθηναίων. ἡ Καρχηδὼν ἡ καὶ Ἀφρικὴ Βύρσα λέγεται· καὶ ζήτει ἐν τῷ Ἀφρικανός.

β 594 Βυρσοδέψης: σκυτοτόμος, ὁ τὰς βύρσας θεραπεύων.

β 595 Βυσαύχην: ὁ τοὺς ὤμους συνέλκων ἐπὶ τὸν τράχηλον.

β 596 Βύσσινον: βύσσῳ βεβαμμένον. δέξαι βύσσινον εἷμα, τό τοι μετὰ παιδὸς ἀγαυᾶς ὕφανε.

β 597 Βυσσοδομοῦντες: ἐκ βάθους σκεπτόμενοι. καὶ Βύσσωμα. θύννων εὐκλώστοιο λίνου βυσσώμασι ῥόμβον φράξαντες γλαυκαῖς ἐν παρόδοις πελάγευς.

β 598 Βυσσόν: βάθος, ὀξυτόνως. βαρυτόνως δὲ σημαίνει βαφὴν ἐκ πορφύρας. καὶ Βυσσός, βυθὸς, παρὰ Ἡροδότῳ.